Οὐαὶ τῷ ἀνόμῳ. Ὅταν ὅλοι φωτίζωνται, ἐκεῖνος σκοτίζεται. Οὐαὶ τῷ βλασφήμῳ, διότι δαίνεται ἡ γλῶσσά του, καὶ πῶς νὰ ἀπολογηθῇ εἰς τὸν φοβερὸν Κριτά. Οὐαὶ τῷ πλεονέκτῃ, ὅτι ὁ πλοῦτος αὐτοῦ φεύγει, καὶ τὸ πῦρ αὐτὸν ὑποδέχεται. Οὐαὶ τῷ ῥαθύμῳ. ζητήσει γὰρ τὸν καιρὸν, ὃν κακῶς ἐδαπάνησε· ζητήσας δὲ, οὐχ εὑρήσει. Οὐαὶ τῷ φιλοπόρνῳ, ὅτι ῥυπαίνει τινὰ σολά, καὶ τοῦ Βασιλικοῦ Γάμου μετὰ ἐντροπῆς ἐκβάλλεται. Οὐαὶ τῷ λοιδόρῳ, καὶ σὺν αὐτῷ τῷ μεθύσῳ, ὅτι μετὰ φονέων πάσχονται, καὶ μετὰ μοιχῶν κολάζονται. Οὐαὶ τῷ ἀμέτρως τρώγοντι καὶ πίνοντι, ὅτι ὡς πρόβατον εἰς σφαγὴν ζητηθήσεται. Οὐαὶ τῷ ὑποκριτῇ, ὅτι ὁ ποιμὴν αὐτὸν ἀρνεῖται, καὶ ὁ λύκος ἁρπάζει. Μακάριος ὁ τὴν στενὴν ὁδὸν περιπατῶν, ὅτι στεφανηφορῶν εἰς τὸν Οὐρανὸν εἰσέρχεται. Μακάριος ὁ τὸν βίον ὑψηλὸν ἔχων, ταπεινὸν δὲ τὸ φρόνημα, Χριστὸν γὰρ μιμεῖται, καὶ σὺν αὐτῷ συγκαθέζεται. Μακάριος ὁ πολλοὺς ἐλεῶν πένητας. πολλοὺς γὰρ εὑρήσει βοηθοὺς εἰς τὴν μέλλουσαν Κρίσιν, ὅτι βασαὶ ἁρπάζουσι τὴν Βασιλείαν τῶν Οὐρανῶν. ἂς βιάσωμεν ἓν ἑαυτοὺς, Ἀδελφοὶ, εἰς παν ἔργον ἀγαθὸν, ἂς παρακαλέσωμεν ἑαυτοὺς, ἂς νουθετήσωμεν, καὶ ἂς οἰκοδομήσωμεν εἰς τὸν αἰῶνα, καθὼς καὶ πάντοτε ἐποιεῖτε. Κἂν ἐν ὁδῷ περιπατεῖτε, περὶ τῆς Κρίσεως νὰ εἶναι ἡ ὁμιλίασας, καὶ περὶ τῆς ἀπολογίας σας· κἂν ἔργον τί ποιεῖτε, κἂν ἐπὶ ταῖς κοίταις σας, εἴτε ἄλλο τι ποιεῖτε, πάντοτε περὶ τῆς Κρίσεως, καὶ τῆς Παρουσίας τοῦ δικαίου Κριτοῦ μεριμνᾶτε, καὶ ἐνθυμᾶσθε ἐν ταῖς καρδίαις σας, καὶ λέγετε πρὸς ἀλλήλους· Ἆρα ποτάπον ἐστὶ τὸ ἐξώτερον σκότος ἐκεῖνο; ἆρα ποτάπον ἐστὶ τὸ πῦρ τὸ ἄσβεστον καὶ ὁ σκώληξ ὁ ἀκοίμητος; ἆρα ποῖοι οἱ βρυγμοὶ τῶν ὀδόντων; Ταῦτα πρὸς ἀλλήλους ὁμιλεῖτε πάντοτε νύκτα καὶ ἡμέραν. Πῶς τρέχει ὁ πύρινος ποταμὸς καὶ καθαρίζει τὴν Γῆν ἀπὸ τῶν ἀνομιῶν τῶν ἐνυπαρχόντων αὐτῇ; πῶς τυλίσσεται ὡς Βιβλίον ὁ Οὐρανός; πῶς τὰ ἄστρα πίπτουσιν ὡς φύλλα ἀπὸ συκῆς; πῶς ἐκλείπει ὁ Ἥλιος, καὶ ἡ Σελήνη; πῶς οἱ Οὐρανοὶ χίζονται μὲ τὴν πρόσταξιν τοῦ Δεσπότου; πῶς ἀστράπτων ἐξ Οὐρανοῦ ὁ Κριτὴς καταβαίνει; πῶς παραττόμεναι αἱ δυνάμεις τῶν Οὐρανῶν τρέχουσι; πῶς ὁ φοβερὸς ἑτοιμάζεται θρόνος; πῶς τρέμει ἡ γῆ, προσδεχομένη τοῦ Κριτοῦ τὴν ἐπίβασιν; πῶς λαλοῦν αἱ σάλπιγγες; πῶς ἀνοίγονται τὰ μνήματα; πῶς ἐκτινάσσονται οἱ τάφοι; πῶς οἱ ἀπ' αἰῶνος κοιμηθέντες, ὡς ἐξ ὕπνου ἐγείρονται; πῶς παλινδρομοῦσιν αἱ ψυχαὶ πρὸς τὰ σώματα;

πῶς εἰς ἀπάντησιν οἱ Ἅγιοι τρέχουσι; πῶς ἀξιοῦνται τῆς εἰσόδου οἱ ἕτοιμοι; πῶς τῶν ἀμελούντων ὁ νυμφὼν ἀποκέκλεισται; Ταῦτα μελετᾷν, καλόν. ταῦτα νυκτὸς καὶ ἡμέρας μεμνᾶν, ἀναγκαῖον· διότι, ὅποιος ἐνθυμᾶται πάντοτε τὸν θάνατον, δὲν θέλει ἁμαρτήσει πολλά. Μὴ ὅλον τὸν χρόνον τῆς ζωῆς μας περὶ τῆς κοιλίας νὰ τρέχωμεν, καὶ περὶ ἐνδυμάτων· ταῦτα τὰ Ἔθνη ποιοῦσιν, οἱ μὴ ἔχοντες ἐλπίδα ζωῆς αἰωνίου. Μὴ ἓν ὁμοιωθῶμεν αὐτοῖς, ἀλλὰ ἂς ἀκούσωμεν τοῦ Κυρίου λέγοντος· „Ζητεῖτε πρῶτον τὴν Βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν Δικαιοσύνην αὐτοῦ, καὶ „ταῦτα πάντα προσεθήσεται ὑμῖν". Ἂς ζητήσωμεν, Ἀδελφοί, ἐκείνην τὴν Βασιλείαν, τὴν μὴ διαβαίνουσαν εἰς τοὺς ἀπεράντους αἰῶνας. ἂς παρακαλέσωμεν, Ἀγαπητοί, μετὰ πόνου καρδίας καὶ σταγμῶν δακρύων, ἵνα μὴ ἀποτύχωμεν τῆς μακαρίας ἐκείνης φωνῆς· ἂς παύσωμεν ἀπὸ τὰ πολλὰ φαγητὰ τοῦ Κόσμου τούτου, ἵνα ἐκεῖθεν κερδίσωμεν τὸν χορτασμὸν τοῦ Παραδείσου· ἂς κλαύσωμεν ὀλίγον ἐδῶ, ἵνα ἐκεῖ γελάσωμεν· ἂς πεινάσωμεν, ἵνα ἐκεῖ χορταθῶμεν· ἂς εἰσέλθωμεν διὰ τῆς στενῆς πύλης καὶ πεθλιμμένης ὁδοῦ, ἵνα ἐκεῖ τὴν πλατεῖαν καὶ εὐρύχωρον ὁδὸν ὁδεύσωμεν. Καὶ πάλιν λέγω· βλέπετε μὴ μᾶς σκελίσῃ, καὶ μᾶς ἐμπαίξῃ ὁ βίος οὗτος, καὶ γυμνοὺς, καὶ παλαιπώρους μᾶς στείλῃ εἰς ἐκεῖνον τὸν αἰῶνα· διότι πολλοὺς ἐσκέλισε, πολλοὺς ἐνέπαιξε καὶ ἐτύφλωσεν ἡ ἀπάτη τοῦ Κόσμου τούτου. Ἡμεῖς δὲ, Ἀδελφοί, ἂς προσέχωμεν, καὶ ἂς ἀκούσωμεν τοῦ Κυρίου λέγοντος· „Δεῦτε ὀπίσω μου". Πάντα ἂς καταλείπωμεν, καὶ αὐτῷ ἂς ἀκολουθήσωμεν, καὶ ἂς καταπτύσωμεν πᾶσαν χαρὰν τοῦ Κόσμου τούτου· διότι γελᾷ ὅσους τὸν ἀγαπῶν. Ἡμεῖς δὲ ἂς σπουδάσωμεν νὰ ἐπιτύχωμεν τῆς αἰωνίου ζωῆς, τῆς μετὰ Ἀγγέλων χορείας, τῆς μετὰ Χριστοῦ διαγωγῆς. Ὅτι αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος, σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

Εἰς τὸν τίμιον Σταυρὸν, καὶ περὶ Μετανοίας, καὶ περὶ τῆς Δευτέρας Παρουσίας.

Εὐλόγησον Πάτερ.

Πᾶσα Ἑορτὴ καὶ πρᾶξις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἶναι σωτήριος, καὶ καύχημα ἡμῶν τῶν Χριστιανῶν· καύχημα δὲ καυχημάτων ἐστὶν ὁ Σταυρὸς, καὶ Ἑορτὴ Ἑορτῶν, ὅτε τὸ Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστὸς, μᾶλλον δὲ ἀνέστη ἐκ νεκρῶν ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ Κόσμου. Αὕτη γὰρ ἡ μὴν καὶ σεβασμία, καὶ τιμία τῶν ἡμερῶν ἐστιν, ἀλλὰ καὶ αἱ λοιπαὶ πᾶσαι Ἑορταὶ Ἅγιαι εἰσὶ καὶ τίμιαι, καὶ ἀλλήλων διαφέρουσιν ἐν δόξῃ καταυγαζόμεναι τῇ ἀστραπῇ τῆς Θεότητος. Ταύτας δὲ τιμᾶν ἀξίως, καὶ ἑορτάζειν πιστῶς χρὴ τὸν σπουδαίως ἀγωνιζόμενον περὶ τὰς Ἐντολὰς τοῦ Θεοῦ· διότι οἱ ῥυπαροὶ καὶ μεμολυσμένοι ἐν ἁμαρτίαις,

ἐν

ἐν ἑορτῇ ὑ μόνοσιν. Ἑορτὴ δὲ καλή ἐστι ϗ Θεάρεστος ἡ μετάνοια τῶν δακρύων, ἡ ἀποχὴ τῶν ἁμαρτημάτων, ἡ ἐπίγνωσις τοῦ Θεοῦ, ϗ ὁ πόθος τῶν αἰωνίων ἀγαθῶν. Τότε ϗ ἐν Οὐρανοῖς χαρὰ γίνεται, τότε ϗ ἡ Ἐκκλησία ἀγάλλεται, ϗ συγκαλεῖ πάντας τοὺς δικαίους λέγουσα· „Συγχάρητέ μοι, ὅτι ὁ Υἱός μου ἦτος νεκρὸς ἦν τοῖς παραπτώμασι, ϗ ἀνέζησε „διὰ τῆς Μετανοίας". Ἑορτὴ καλὴ ϗ θεάρεστος, ἔνθα συνεορτάζει Χριστὸς, ἔνθα πτωχοὶ θεραπεύονται, ἔνθα χῆραι ἀναπαύονται, ἔνθα τιμὴ Θεοῦ ἐν ψαλμοῖς, ϗ ὕμνοις, ϗ ᾠδαῖς πνευματικαῖς. Οὗτοί εἰσιν οἱ σωνημμένοι εἰς τὸ αὐτὸ ὄνομα· ἐν μέσῳ τοιούτων ἐπηγγείλατο εὐφρανθῆναι ὁ Κύριος· μακάριοι οἱ τοιούτῳ τρόπῳ σωνημμένοι εἰς τὸ αὐτὸ ὄνομα, διότι τὸν Δεσπότην ἔχοντες μεθ' ἑαυτῶν, ἐν μέσῳ αὐτῶν, οὐδὲν αὐτοὺς ὑστερήσει. Οὕτως ἂν ἄς τιμήσωμεν τὰς τοῦ Κυρίου Ἑορτὰς, μὴ κοσμικῶς, ἀλλ' ὑπερκοσμίως· μὴ πρόθυρα στεφανώσωμεν, μὴ χωρὸς συστησώμεθα, μὴ κοσμήσωμεν ἀγορὰς, μὴ αὐλοῖς ϗ κιθάραις τὰς ἀκοὰς θηλύνωμεν, μὴ χρυσοῦ περιλάμψεσι, μὴ χρυσοῦ λαμβανώμεν σύνοιαν, εἰς τὸ ποιεῖν ἐνώτια χρυσέα, ϗ δακτυλίδια. „Μὴ σύνεκεν βρώματος κα„τάλυε τὸ ἔργον τοῦ Θεοῦ" καθὼς παραινεῖ ὁ Ἀπόστολος. Μὴ ζημιωθῆς τῆς Θείας Λειτουργίας διὰ τινὶ ἄπληστόν σου κοιλίαν, ἐν μαγειρείῳ ἀχολούμενος. Ἀλλὰ ταῦτα ἂς παρορῶμεν εἰς ἐκείνους, ὧν ὁ Θεὸς ἡ κοιλία, ϗ ἡ δόξα· ἡμεῖς δὲ πάντες μικροὶ ϗ μεγάλοι, ἄνδρες τε ϗ γυναῖκες, χριστιανικῶς τὰς Ἑορτὰς τοῦ Κυρίου ἂς τιμήσωμεν ὡς ἐδιδάχθημεν· ψαλμοῖς, ϗ ὕμνοις, ϗ ᾠδαῖς πνευματικαῖς ἂς στεφανώσωμεν τὰ πρόθυρα, ὡς Χριστιανοὶ, ϗ μὴ ὡς Ἕλληνες δάφναις ϗ ἄνθεσιν, ἢ ἑτέρᾳ ὕλῃ, ὅπερ ἐστὶν Ἑλλήνων, ϗ Ἰουδαίων. ἡ σκιὰ γὰρ τοῦ Νόμου πέπαυται, ἡ δὲ ἀλήθεια λύθησε, καθὼς ἀκούομεν τοῦ Ἀποστόλου λέγοντος· „Τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά". Ἡ πλάνη τῶν Εἰδώλων καπήργηται, ὁ Ἅδης ἐσκύλευται, ἡ ἐν αὐτῷ αἰχμαλωσία ἀνακέκλιται, τῆς πολυθέου πλάνης τὰ Βασίλεια συντέτριπται, ὁ ἄνθρωπος ἠλευθέρωται, ὁ Θεὸς ἐβασίλευσεν, ἡ Κτίσις εὐφραίνεται, ὁ Σταυρὸς πολιτεύεται, ὃν προσκυνοῦσι πάντα τὰ πέρατα. ἐν ᾧ καυχώμεθα μετὰ τοῦ μακαρίου Παύλου λέγοντος· „Ἐμοὶ δὲ μὴ γένοιτο καυ„χᾶσθαι, εἰμὴ ἐν τῷ Σταυρῷ τοῦ Κυρίου". Διὸ ϗ ἐπὶ τῶν θυρῶν τὸν τίμιον ϗ ζωοποιὸν Σταυρὸν, ϗ ἐπὶ τὸ μέτωπον, ϗ ἐπὶ τῶν ὀφθαλμῶν, ϗ ἐπὶ τοῦ στόματος, ϗ ἐπὶ τοῦ στήθους, ϗ ἐπὶ παν μέλος ἡμῶν τοῦτο κατακοσμηθῶμεν, ϗ ὁπλισόμεθα, τὸ ἀήττητον ὅπλον τῶν Χριστιανῶν, τὸν νικητὴν τοῦ θανάτου, τὴν ἐλπίδα τῶν πιστῶν, τὸ φῶς τῶν περάτων, τὸν ἀνοικτὴν τοῦ Παραδείσου, τὸν τῶν Αἱρέσεων καθαιρέτην, τὸ στερέωμα τῆς Ὀρθοδόξου Πίστεως, τὸ μέγα φυλακτήριον, ϗ σωτήριον καύχημα τῆς Ἐκκλησίας.

Τοῦτον, Χριστιανὲ, καθ' ἑκάστην ἡμέραν ϗ νύκτα ϗ ὥραν ϗ στιγμὴν μὴ διαλείπῃς· ἀλλὰ ϗ κοιμώμενος, ϗ ἀνιστάμενος, ϗ ἐργαζόμενος, ϗ ἐσθίων, ϗ πίνων, ϗ ὁδεύων, κἂν θάλασσαν πλέῃς, κἂν ποταμὸν διαβαίνῃς, πάντα τὰ μέλη σου μὲ τὸν τίμιον ϗ ζωοποιὸν Σταυρὸν σφράγιζε,

καὶ οὐδέποτε φοβηθήσῃ. „Ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου „ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος „καὶ δαιμονίου μεσημβρινοῦ". Ἐὰν τοῦτον πάντοτε εἰς βοήθειάν σου παραλαμβάνῃς „οὐ προσελεύσεται πρὸς σὲ κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν „τῷ σκηνώματί σου". τοῦτον γὰρ θεωροῦσαι αἱ ἐναντίαι δυνάμεις φεύγουσι καὶ ἀναχωροῦσιν. Οὗτος τὴν Οἰκουμένην ἡγίασε, καὶ τὸ φῶς ἐπανήγαγε, καὶ τὰ Ἔθνη συναγαγὼν ἀπὸ Ἀνατολῶν, καὶ Δυσμῶν, καὶ Βορρᾶ, καὶ Νότου, εἰς μίαν Ἐκκλησίαν καὶ εἰς τὸ Βάπτισμα ἐν ἀγάπῃ συνέδησεν. Οὗτος τὸ ἀκαταμάχητον τῶν Ὀρθοδόξων τεῖχος. Ποῖον στόμα, ἢ ποταπὴ γλῶσσα θέλει ἐγκωμιάσει ἐπαξίως τὸ νικοποιὸν ὅπλον τοῦ Βασιλέως Χριστοῦ; Σταυρὸς, Χριστιανῶν ἡ ἐλπίς· Σταυρὸς, νεκρῶν ἡ ἀνάστασις· Σταυρὸς, χωλῶν ἡ βακτηρία· Σταυρὸς, τυφλῶν ὁ ὁδηγός· Σταυρὸς, Βασιλέων μεγαλοπρέπεια· Σταυρὸς, Μοναζόντων τὸ θάρσος· Σταυρὸς, γυμνητευόντων ἡ σκέπη. Οὗτός ἐστιν ὁ παγεὶς ἐν μέσῳ τῆς Οἰκουμένης, ἐν τόπῳ κρανίου, καὶ εὐθέως βλαστήσας τὸν βότρυν τῆς ζωῆς. Ἐν τούτῳ τῷ ἁγίῳ ὅπλῳ διέρρηξεν ὁ Χριστὸς τὴν παμφάγον τοῦ Ἅδου γαστέρα, καὶ τὸ πολυμήχανον τοῦ διαβόλου ἐνέφραξε στόμα. Τοῦτον ἰδὼν ὁ θανάτος, τρομάξας καὶ φείξας, πάντας ὃς εἶχεν ἀπὸ τοῦ Πρωτοπλάστου, ἀπέλυσε. Τοῦτον ὁπλισάμενοι οἱ μακάριοι Ἀπόστολοι, πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ ἐπάτησαν, καὶ πάντα τὰ Ἔθνη σαγηνεύσαντες συνήγαγον εἰς τὸν προσκύνησιν. Τοῦτον αὐτὴ θώρακος οἱ στρατιῶται περιβαλλόμενοι τοῦ Χριστοῦ Μάρτυρες, πάσας τὰς ἐπινοίας καὶ τὸ θράσος τῶν Τυράννων κατεπάτησαν, καὶ παρρησίᾳ ἐκήρυξαν τὸν Ἐσταυρωμένον. Τοῦτον βαστάζοντες οἱ τὸν Κόσμον ἀποπαξάμενοι, μὲ πολλὴν χαρὰν κατοικοῦσιν ἐν ἐρημίαις, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς. Ὦ τῆς ἀμετρήτου ἀγαθότητος τοῦ φιλανθρώπου Θεοῦ, καὶ πόσα ἀγαθὰ ἐδωρήσατο τῷ γένει τῶν ἀνθρώπων. Δόξα τῇ αὐτοῦ φιλανθρωπίᾳ. Ἠκούσατε, Ἀγαπητοὶ, καὶ φιλόχριστοι, πόση ἐστὶν ἡ δυνάμις τοῦ Σταυροῦ, πόσα κατορθώματα, καὶ πόσα ἀγαθὰ κάνει; Οὗτος γὰρ, ὡς καλὸς κυβερνήτης, κυβερνήσας ἡμῶν τὴν παροῦσαν ζωὴν, καὶ εἰρηνεύσας αὐτὴν, καὶ τῆς μελλούσης αἰωνίου ζωῆς πρόξενος ἡμῶν γεγονὼς, αὐτὸς πάλιν καὶ ἐν τῇ Δευτέρᾳ Παρουσίᾳ τοῦ Κυρίου πρῶτος μέλλει ἀναφαίνεσθαι, ὡς τίμιον, καὶ σεβάσμιον, καὶ ἅγιον σκῆπτρον τοῦ Βασιλέως Χριστοῦ, κατὰ τὸν λόγον τοῦ Δεσπότου εἰπόντος· „Ὅτι φανήσεται τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ „ἀνθρώπου ἐν τῷ Οὐρανῷ". Οὗτος πίνυν πρῶτος Ἄγγελος φωτίζων πᾶσαν τὴν γῆν ἀπὸ περάτων ἕως περάτων, ὑπὲρ τὴν λαμπρότητα τοῦ Ἡλίου λάμπων, τὴν παρουσίαν τοῦ Δεσπότου μηνύσει. Ταῦτα εἰρήσθω πρὸς τὸ παρὸν, τὰ δὲ μετὰ ταῦτα ἀποκαλυπτόμενα, ὀπίσω τοῦ Σταυροῦ, ἆρα ποταπά; οἴμοι, Ἀδελφοί μου φιλόχριστοι, ἐμνήσθην τῆς ὥρας ἐκείνης καὶ ἔφριξα, καὶ ἐνταῦθα καταπαῦσαι τὸν λόγον ἠβουλήθην ἀπὸ τοῦ πολλοῦ φόβου, ἐνθυμούμενος τὰ μέλλοντα ἀποκαλύπτεσθαι ὀπίσω τοῦ Σταυροῦ. Τίς γὰρ αὐτὰ διηγήσεται; ποῖον στόμα ἀπαγγελεῖ; ποταπὴ δὲ γλῶσσα φθέγξεται; ποία φωνὴ δηλώσει; ποία δὲ ἀκοὴ χωρήσει ἐκεῖνα

ἀκοῦ-

ἀκῦσαι, ὧν γινομένων, αἱ Δυνάμεις τῶν Οὐρανῶν σαλευθήσονται; Τί γὰρ ἐ φοβηθήσεται καὶ τρομάξει ἐν τῇ ὥρᾳ ἐκείνῃ, ὅταν ὁ Βασιλεὺς τῶν Βασιλευόντων ἀπὸ τοῦ θρόνου τῆς δόξης αὐτοῦ, καὶ κατελθὼν ἐπισκέψαθαι πάντας τοὺς κατοικοῦντας τὴν Οἰκουμένην, καὶ συναράι λόγον μετ' αὐτῶν, μέλλει ἀποδοῦναι τοῖς δικαίοις τὰ ἀγαθὰ, τοῖς δὲ ἀναξίοις τὰς κολάσεις ὡς δίκαιος κριτής; Ταῦτα οὖν ἐνθυμούμενος, φόβῳ συνέχομαι, τὰ μέλη παραλέλυμαι πάντοθεν, οἱ ὀφθαλμοί μου φόβῳ δακρύουσιν, ἡ φωνή μου ἐκλείπει, τὰ χείλη μου πεπήγασιν, ἡ γλῶσσά μου φείττει, καὶ οἱ λογισμοί μου σιωπᾷν μελετῶσιν· ὁ φόβος κατέχει με, καὶ ἐπιτιμᾷ σιωπᾷν, ὅτι πολὺς ὁ φόβος καὶ ὑπέρμετρος.

Τοιαῦτα γὰρ μεγάλα καὶ φοβερὰ θαύματα ἔτι γενήσεται ἐν ὅλαις ταῖς γενεαῖς. Καὶ ἄρτι μὲν πολλάκις, ἐὰν ἄφνω γενήσεται ἀστραπὴ, καὶ βροντὴ, τρανώματα πάντα ἀνθρωπον ἐκθροεῖ, καὶ πάντες εἰς γῆν κατακλίνομεν· καὶ εἰ ταῦτα ἐκθροῦσιν ἡμᾶς τὰ μικρὰ, πῶς ἀποτέγκωμεν τότε, ὅταν ἀκούσωμεν τῆς φωνῆς τῆς σάλπιγγος ἐκ τοῦ Οὐρανοῦ, ὑπὲρ πᾶσαν βροντὴν προσαγόσης, καὶ ἐξυπνόσης πάντας τοὺς ἀπ' αἰῶνος κοιμηθέντας δικαίους τε, καὶ ἁμαρτωλούς; Τότε οἱ ἐν τῷ Ἅδῃ τῆς ἀνθρωπίνης φύσεως ἀκούοντες τῆς φωνῆς τῆς σάλπιγγος, περιτρέχουσι μετὰ σπουδῆς ζητοῦντες τὰς ἑαυτῶν ἁρμονίας. Τότε, ὅταν ἴδωμεν πᾶσαν φύσιν ἀνθρώπων ἐν ῥιπῇ ὀφθαλμοῦ ἀνισαμένην ἐκ τοῦ τόπου αὐτῆς, καὶ ἐπισυναγομένην ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς τὸ Κριτήριον. κελεύει γὰρ ὁ μέγας Βασιλεὺς, ὁ ἔχων ἐξουσίαν πάσης σαρκὸς, καὶ εὐθέως μετὰ τρόμου ἀποδώσει ἡ γῆ τοὺς ἑαυτῆς νεκρὸς, εἴτε θηρίον ἥρπασεν, εἴτε ἰχθὺς ἐμέλισεν, ἢ ὄρνεον, καὶ ἐν ῥιπῇ ὀφθαλμοῦ παρασήσεται. Ὦ πῶς ὑπενέγκωμεν, Ἀδελφοὶ, ὅταν ἴδωμεν τὸν πύρινον ποταμὸν ἐξερχόμενον, ὥσπερ ἀγείαν θάλασσαν, καὶ κατεθίοντα τὰ ὄρη, καὶ τὰς νάπας, καὶ πᾶσαν τὴν Οἰκουμένην; Τότε, Ἀγαπητοὶ, ἐκ τοῦ πυρὸς ἐκείνου οἱ ποταμοὶ ἐκλείψουσιν, αἱ πηγαὶ ἀφανίζονται, ἡ θάλασσα ξηραίνεται, ὁ ἀὴρ κλονεῖται, τὰ Ἄστρα πίπτουσιν, ὁ Ἥλιος ἐκλείπει, ἡ Σελήνη μεταβάλλεται εἰς αἷμα, ὁ Οὐρανὸς εἱλίσσεται ὡς Βιβλίον. Ὅταν ἴδωμεν τοὺς Ἀγγέλους ἀπεσταλμένους καὶ περιτρέχοντας μετὰ σπουδῆς, καὶ ἐπισυνάγοντας τοὺς ἐκλεκτοὺς δούλους τοῦ Θεοῦ ἀπ' ἄκρου τοῦ Οὐρανοῦ ἕως ἄκρου αὐτοῦ. Ὅταν ἴδωμεν Οὐρανὸν καινὸν, καὶ γῆν καινήν· ὅταν ἴδωμεν τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου φανὲν ἐν τῷ Οὐρανῷ, καὶ φωτίζον πάντα τὰ πέρατα τῆς γῆς, τότε πάντες θεωρήσαντες ἐν τῷ ὕψει φανὲν τὸ Βασιλικὸν τοῦτο καὶ φοβερὸν Σκῆπτρον, γινώσκει ἕκαστος, ὅτι ὀπίσω αὐτοῦ ὁ Βασιλεὺς μέλλει ἀναφαίνεσθαι. Ἐν ἐκείνῃ τῇ ὥρᾳ θέλει ἐνθυμηθῇ ἕκαστος τὸ πῶς ἔχει νὰ ἀπαντήσῃ τῷ Χριστῷ· καὶ ἐὰν ἰδῇ ἑαυτὸν παιδίσμα ἔχειν, ἵσταται γυμνὸς καὶ πεθλιμμένος, προσδοκῶν τὴν ἀπόφασιν αὐτοῦ ἐξελθεῖν, ὅτι θεωρεῖ τὰ ἴδια ἔργα κατὰ τοῦ προσώπου αὐτοῦ ἱστάμενα, κἂν τε ἀγαθὰ, κἂν τε φαῦλα. Τότε οἱ στενὴν καὶ πεθλιμμένην ὁδὸν βαδίσαντες, καὶ πάντες οἱ γνησίως μετανοήσαντες, καὶ πάντες οἱ ἐλεήμονες, καὶ ξενοδόχοι, ἵστανται ἱλαροὶ μετὰ χαρᾶς πολλῆς, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπι-

πιφάνειαν τῆς δόξης τȣ̃ μεγάλȣ Θεȣ̃ κ̀ Σωτῆρος Ἰησȣ̃ Χριστȣ̃. Ἔρχεται, ἵνα δίφραγκ τȣ̀ς ἀγωνιζομένȣς ἐν ἀρετῇ νικείαις, κ̀ ψαλμοῖς· ἔρχεται, ἵνα στεφανώσῃ τȣ̀ς ἐλεήμονας· ἔρχεται, ἵνα ὑψώσῃ τȣ̀ς πτωχȣ̀σαντας διὰ τὸ ὄνομα αὐτȣ̃, τȣ̀ς μὴ ἀγαπήσαντας τὸν Κόσμον, ἀλλὰ πάντα καταλιπόντας, κ̀ αὐτῷ ἀκολȣθήσαντας· ȣ̓κ ἔτι ἀπὸ γῆς, ἀλλ' ἐξ Οὐρανȣ̃, ὡς ἀστραπὴ φοβερά.

Τότε κραυγὴ γίνεται μεγάλη λέγȣσα· Ἰδȣ̀ ὁ Νυμφίος ἔρχεται· ἰδȣ̀ ὁ Κριτὴς παραγίνεται· ἰδȣ̀ ὁ Δικαστὴς ἀποκαλύπτεται· ἰδȣ̀ ὁ τῶν ὅλων Θεὸς ἔρχεται κρῖναι τȣ̀ς Οἰκȣμένȣς, κ̀ ἀποδȣ̃ναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτȣ̃. Τότε, Ἀδελφοί μȣ ἀγαπητοί, ἐκ τῆς κραυγῆς ἐκείνης σεσάλȣσιν οἱ νεκροὶ τῆς γῆς, ἀπὸ περάτων αὐτῆς ἕως περάτων, κ̀ ἡ θάλασσα κ̀ πᾶσαι ἄβυσσοι. Τότε ἔσται φόβος κ̀ σεισμοχωρία, κ̀ ἔκστασις λήψεται πάντα ἄνθρωπον ἐκ τῆς κραυγῆς κ̀ ἤχȣ τῶν σαλπίγγων. Τότε αἱ δυνάμεις τῶν Οὐρανῶν σαλȣθήσονται. Τότε προσρέχȣσι στρατιαὶ τῶν Ἀγγέλων, τὰ Χερȣβὶμ, κ̀ τὰ Σεραφὶμ ἐν ἰσχύϊ κραυγάζοντα· Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος, ὁ ὤν, κ̀ ἐρχόμενος ὁ Παντοκράτωρ. Τότε πᾶν κτίσμα ἐν τῷ Οὐρανῷ, κ̀ ἐν τῇ γῇ, κ̀ ὑποκάτω τῆς γῆς ἐν δυνάμει βοῶσιν· „Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίȣ". Τότε χιθήσονται οἱ Οὐρανοὶ, κ̀ ἀποκαλυφθήσεται ὁ Βασιλȣ̀ς κ̀ Ἄρχων τῶν Ἀρχόντων, ὡς ἀστραπὴ φοβερὰ, μετὰ δυνάμεως, κ̀ δόξης πολλῆς κ̀ αἰνεκάστȣ, κ̀ ὄψεται αὐτὸν πᾶς ὀφθαλμὸς, κ̀ οἵ τινες αὐτὸν ἐξεκέντησαν, κ̀ κόψονται ἐπ' αὐτὸν πᾶσαι αἱ φυλαὶ τῆς γῆς. Τότε ὁ Οὐρανὸς κ̀ ἡ γῆ εἰς φυγὴν τραπήσονται, καθὼς ὁ Ἡσαΐας προεδήλωσε λέγων· „Εἶδον θρόνον λȣκὸν μέγαν, κ̀ τὸν καθήμενον ἐπ' αὐτὸν, ȣ̔ ἀπὸ προσώπȣ αὐτȣ̃ ἔφυγον· ὁ Οὐρανὸς, κ̀ ἡ γῆ εἰς φυγὴν τραπήσονται". Τότε καθήσει ἐπὶ θρόνȣ δόξης αὐτȣ̃, ὡς αὐτὸς εἴρηκε, κ̀ συναχθήσονται ἔμπροσθεν αὐτȣ̃ πάντα τὰ Ἔθνη· ἆρα, ποταπὴ ψυχὴ θέλει δίρεθῇ ὁπȣ̃ νὰ ὑπομείνῃ, ὅταν τεθῶσι θρόνοι, κ̀ Κριτήριον καθήσει, κ̀ Βίβλοι ἀνοιχθῶσι; Τότε θεασώμεθα τȣ̀ς ἀναριθμήτȣς δυνάμεις τῶν Ἀγγέλων, κ̀ Ἀρχαγγέλων· τότε πληρȣ̃ται ἡ Προφητεία Δανιὴλ, ἡ λέγȣσα· „Ἐγὼ ἐθεώρȣν ἕως ȣ̔ ἐτέθησαν θρόνοι, κ̀ παλαιὸς ἡμερῶν ἐκάθισε. Τὸ ἔνδυμα αὐτȣ̃ λȣκὸν ὡσεὶ χιὼν, ἡ θρὶξ τῆς κεφαλῆς αὐτȣ̃ ὡσεὶ ἔριον καθαρὸν, ὁ θρόνος αὐτȣ̃ φλὸξ πυρὸς, κ̀ οἱ τροχοὶ αὐτȣ̃ πῦρ φλέγον. Ποταμὸς πυρὸς εἵλκον ἔμπροσθεν αὐτȣ̃, χίλιαι χιλιάδες παρεισήκεισαν αὐτῷ, κ̀ μύριαι μυριάδες ἐλειτούργȣν αὐτῷ. Κριτήριον ἐκάθισε, κ̀ βίβλοι ἀνεῴχθησαν". Μέγας φόβος, Ἀδελφοὶ, τῇ ὥρᾳ ἐκείνῃ. Τότε ἀνοίγονται ἐκεῖναι αἱ φοβεραὶ Βίβλοι, ἔνθα γεγραμμένα εἰσὶ τὰ ἔργα ἡμῶν, κ̀ οἱ λόγοι ἡμῶν, κ̀ ἃ ἐπράξαμεν ἐν τῷ βίῳ τȣ́τῳ, κ̀ ἐνομίσαμεν λανθάνειν τὸν Θεὸν, τὸν ἐπάζοντα καρδίας κ̀ νεφρȣ́ς· ἐκεῖ γὰρ ἀναγεγραμμένα εἰσὶ πᾶσαι αἱ πράξεις κ̀ ἐνθυμήσεις τῶν ἀνθρώπων, κ̀ἄν τε ἀγαθαὶ, κ̀ἄν τε φαῦλαι. Ὦ πόσων δακρύων χρήζομεν ἐν τῇ ὥρᾳ ἐκείνῃ, κ̀ ἀμελȣ̃μεν· διὰ γὰρ τῶν δακρύων δυνάται τις ἐξαλεῖψαι τὰ γεγραμμένα ἐγκλήματα ἐν ταῖς

Βί-

βίβλοις ἐκείνως, καὶ δι' ἐλεημοσύνης. Πόσα θέλομεν συνάξῃ καὶ ἐλεεινὰ θέλομεν δακρύσει, ὅταν ἴδωμεν τοῖς ὀφθαλμοῖς ἡμῶν τὴν ἀπόρρητον Βασιλείαν τῶν Οὐρανῶν, καὶ θεασάμεθα τὰς φοβερὰς κολάσεις; μέσον δὲ τέκνων ἁπάντων πᾶσαν φύσιν τῶν ἀνθρώπων, ἀπὸ τοῦ πρωτοπλάστου Ἀδὰμ ἕως τοῦ γενησομένου πάντων ὕστερον; Τότε πληρωθήσεται ὁ λόγος ὁ γεγραμμένος· „Ζῶ ἐγὼ λέγει Κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν „γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξο„μολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν".

Τότε πᾶσα ἡ ἀνθρωπότης ἰσαμένη μέσον Βασιλείας καὶ Κρίσεως, μέσον ζωῆς καὶ θανάτου, μέσον χαρᾶς καὶ ἀνάγκης, καὶ πάντες κάτω νεύοντες, καὶ μὴ ἀνανεύοντες, βλέψουσιν ἔμπροσθεν αὐτῶν τοῦ βήματος παρεστηκότας καὶ δεινῶς ἐξεταζομένους, καὶ μάλιστα τοὺς ἐν ἀμελείᾳ ζήσαντας. Καὶ ταῦτα θεωροῦντες πάλιν κάτω νεύοντες, ἐνθυμοῦνται πάσας τὰς πράξεις αὐτῶν, καὶ βλέπει ἕκαστος τὰ ἴδια ἔργα ἔμπροσθεν αὐτοῦ. Καὶ οἱ μὴ μετανοήσαντες, ὀδυρόμενοι λέγουσιν· ὦ πῶς οὐκ ἠγωνισάμεθα οἱ ἄθλιοι, ἀλλὰ καὶ τὸν καιρὸν ἡμῶν ἀνηλώσαμεν, παίζοντες, καὶ παιζόμενοι. πῶς οὐκ ἀγρυπνήσαμεν; διατί οὐκ ἠλεήσαμεν τοὺς πτωχούς; διατί τὸν Ἀδελφὸν ἐμισήσαμεν; διατί οὐκ ἐποιήσαμεν τὶ ἀγαθόν; ὅπως γὰρ ἐσυγχωρήθη ἡμῖν ὡς ἕως καιρὸς μετανοίας, ἀλλὰ γελῶντες, καὶ τρυφῶντες, καὶ μετεωρίζομενοι, ἐπεράσαμεν τὰ ἔτη ἡμῶν. Τί ποιήσωμεν ἄρτι, ὅτι ἔφθασεν ἡμᾶς ἡ ὥρα ἡ φοβερὰ, ἕως ἠκούσαμεν πολλάκις καὶ ἐγελῶμεν; Τί ποιήσομεν οἱ ἐλεεινοὶ, ὅτι αἱ βίβλοι ἀνεῴχθησαν, καὶ κρίνουσιν ἅπαντας; Ταῦτα αὐτῶν διαλογιζομένων, ἀκούσει τῆς φωνῆς τοῦ Κριτοῦ· Δείξατε τὰ ἔργα, καὶ λάβετε τὸν μισθόν. Ἐν δὲ τῇ ὥρᾳ ἐκείνῃ σαλευθήσονται πάντα τὰ τάγματα τῶν Χριστιανῶν, Ἀρχιερεῖς, καὶ Ἱερεῖς, Διάκονοι, καὶ Ἀναγνῶσται, καθὼς λέγει ὁ Ἀπόστολος· „Ἕκαστος ἐγείρεται „ἐν τῷ ἰδίῳ τάγματι δοῦναι λόγον τῷ Θεῷ". Τότε σαλευθήσονται φόβῳ Βασιλεῖς καὶ Δυνάσται, πτωχοὶ καὶ πλούσιοι, ὅτι ἐπέστη ἡ ὥρα, ἵνα ἑκάστου τὸ ἔργον ἐπὶ Ἀγγέλων, καὶ ἀνθρώπων γνωσθήσεται, καὶ θεείσει ἕκαστος, ὃ ἔσπειρεν. Οἴμοι, Ἀδελφοί μου φιλόχριστοι, ὅτι θέλοντας νὰ εἰπῶ τὰ μετὰ ταῦτα, ἐκ τοῦ φόβου ἀνακόπτομαι, τὰ δάκρυά μου προχέουσι, καὶ ἰλιγγιῶ, ἐπειδὴ φρικτόν ἐστι τὸ διήγημα. Τότε, Φιλόχριστοι, ἐρευνᾶται σὺν ἑκάστου Χριστιανοῦ ἡ σφραγὶς ἣν ἔλαβε, τουτέστιν ἡ Πίστις ἀμίαντος, ἡ σφραγὶς ἄθραυστος, καὶ ὁ χιτῶνας ἀμόλυντος, καὶ ἡ καλὴ ὁμολογία, ἣν ὡμολογήσαμεν σὺν πλείστοις μαρτύρων, λέγοντες· Ἀποτασσόμεθα τῷ σατανᾷ, καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ, οὐχ ἕνα, ἢ δύο, ἢ πέντε, ἀλλὰ πᾶσι τοῖς ἔργοις αὐτοῦ τοῦ διαβόλου. Ταύτην ἐν τῇ ἀποταγῇ ἀπαιτούμεθα ἐν τῇ ὥρᾳ ἐκείνῃ, καὶ μακάριος ὅστις ἐφύλαξε, καθὼς συνέθετο, δι' ἑνὸς ῥήματος (ἀποτάσσεται) πᾶν φαῦλον πρᾶγμα τοῦ διαβόλου· μοιχείαν δηλαδὴ, πορνείαν, ἀκαθαρσίαν, ψευδολογίαν, φθόνον, κλοπὴν, λοιδορίαν, πικρίαν, θυμὸν, μνησικακίαν, ἔχθραν, ἔριν, μέθην, ἀργολογίαν, ὑπερηφανίαν, γέλοια, κιθαρισμοὺς, χορευλίας, ὀρχισμοὺς, γέλωτας, τὰ ἄσματα τῶν δαιμόνων, πλεονεξίαν, καὶ φι-

λαργυρίαν, καὶ τὸ ἔχαπον πάντων τῶν κακῶν, εἰδωλολατρείαν, καὶ φαρμακίαν. Ταῦτα καὶ τὰ τύπων ὅμοια ἀποτάσσεται πᾶς πιστὸς ἐν τῇ Ἁγίᾳ κολυμβήθρᾳ· ταύτῃ ἓν τῷ ἀποταγῇ ἀπαιτόμεθα ἐν τῇ ὥρᾳ ἐκείνῃ.

Πῶς δὲ ἀπακείνονται; λαλήσω ἐν ὀδύνῃ, καὶ εἴπω ἐν σπαγμοῖς μετὰ δακρύων, ἐκεῖνα διηγούμενος καθ' ὅτι ἔχατά εἰσι. Τότε, Φιλόχριστοι, μετὰ τὸ ἀρνεθῆναι, καὶ ἐξεπαθῆναι ἐπὶ Ἀγγέλων, καὶ ἀνθρώπων, καὶ καταργηθῆναι πᾶσαν ἀρχὴν, καὶ ἐξουσίαν, καὶ πάντες οἱ ἐχθροὶ τεθῶσιν ὑπὸ τοὺς πόδας αὐτοῦ. Τότε λοιπὸν, καθὼς εἶπεν ὁ Κύριος, „ἀφορεῖ αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀ„πὸ τῶν ἐρίφων". καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, ἤγουν τοὺς ἔχοντας τοὺς καλοὺς καρπούς, τὰ ἐπιγινώσκοντα τὸν Ποιμένα, τοὺς φυλάξαντας τὴν σφραγῖδα, τὰ ἀκολουθήσαντα τῷ Ποιμένι τῷ εἰπόντι· „Δεῦ„τε ὀπίσω μου". τοὺς μὴ μιάναντας τὴν Ἁγίαν Πίστιν μετὰ τῶν Αἱρετικῶν· ταῦτα λέγω τὰ πρόβατα στήσει ἐκ δεξιῶν αὐτοῦ. Τὰ δὲ ἐρίφια τὰ ἄκαρπα, ὅσα τὸν Ποιμένα παρώξυναν, τὰ νεμόμενα μετὰ τῶν Αἱρετικῶν, καὶ τὴν Ἁγίαν Τριάδα ἀθετήσαντα· οἵτινες ἐσπίρτησαν ἀπάκπως, ἐτρύφησαν, ἐχόρευσαν, καὶ σωρεύσαντες τὸ ὑαὶ, ἐξῆλθον ἐκ τοῦ βίου, παντὸς ἔργου ἀγαθοῦ ἔρημοι, πάσης δὲ ἁμαρτίας πεπληρωμένοι· ὃς ἰδὼν ὁ Κύριος ἐν τῇ ὥρᾳ ἐκείνῃ, ἀποστρέψει τὸ πρόσωπον αὐτοῦ. Καὶ τότε λέγει τοῖς ἐκ δεξιῶν αὐτοῦ· „Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου". δεῦτε οἱ υἱοὶ τοῦ φωτός· δεῦτε οἱ δι' ἐμὲ πτωχεύσαντες, καὶ πεινάσαντες, καὶ διψήσαντες, οἱ μὴ ἀγαπήσαντες τὸν Κόσμον, μηδὲ τὰ ἐν Κόσμῳ· δεῦτε οἱ δι' ἐμὲ καταλιπόντες πᾶσαν χαρὰν τοῦ Κόσμου, συγγενεῖς, φίλους, γονεῖς τε καὶ τέκνα· δεῦτε οἱ ἐν ἐρημίαις καὶ ὄρεσι καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς μετὰ τῶν θηρίων οἰκήσαντες, οἰκήσατε νῦν μετὰ τῶν Ἀγγέλων μου ἐν Οὐρανῷ. „Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονο„μήσατε τὴν ἡτοιμασμένην ὑμῖν Βασιλείαν ἀπὸ καταβολῆς Κόσμου". Τότε λέγει καὶ τοῖς ἐξ ἀριστερῶν· Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι καὶ μεμισημένοι, οἱ ἀνελεήμονες, οἱ μισάδελφοι, μᾶλλον δὲ καὶ μισόχριστοι. Οὐκ ἠλεήσατε, οὐκ ἐλεηθήσεσθε· οὐκ ἠκούσατε τῆς φωνῆς μου τῶν ἀχραάντων Εὐαγγελίων, καὶ τῶν μακαρίων Μαθητῶν μου, οὐδὲ ἐγὼ εἰσακούσομαι ὑμῶν τὸν θρηνῶν. ἐτρυφήσατε ἐπὶ τῆς γῆς, ἀπολαύσατε τῶν ἀγαθῶν ἐν τῇ ζωῇ ὑμῶν. Ἐκεῖ καθ' ἑκάστην ἡμέραν ἐγὼ, διὰ τῶν Ἁγίων Γραφῶν καὶ Προφητῶν, ἐβόων, καὶ ὑμεῖς ἀκούοντες ἐχλευάζετε. νῦν τοίνυν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. „Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ σκότος „τὸ ἐξώτερον, καὶ εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ „τοῖς Ἀγγέλοις αὐτοῦ. Καὶ ἀπέρχονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ „δίκαιοι εἰς ζωὴν αἰώνιον".

Εἰς τὴν Κόλασιν ὅμως διαφόρως κολάζονται, κατὰ τὰς μισαράς των πράξεις, ἐπειδὴ ἀλλέως κολάζεται ὁ μοιχὸς, καὶ ἀλλέως ὁ φονεὺς, καὶ ἀλλέως ὁ κλέπτης καὶ μέθυσος. Ὅσοι ἐν αἱρέσει ἐμολυνθῆσαν ἀκούσι τοῦ" Ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου". οἱ δὲ ἔχοντες μετ' ἀλλήλων ἔχθραν, καὶ συμβῇ αὐτοὺς ἐξελθεῖν ἐκ τοῦ βίου, ἀπα-

ραίπιτον κεῖμα δύρήσυσι, καὶ ὡς μεμισημένοι εἰς τὸ ἐξώτερον πῦρ πέμπονται, ὡς μισήσαντες τὸν εἰπόντα· „Ἀγαπᾶτε ἀλλήλυς". Οὐαὶ τῷ φιλοπόρνῳ, καὶ τῷ μοιχῷ, καὶ τῷ μεθύσῳ, καὶ τῷ κλέπτῃ, καὶ τοῖς φαρμακοῖς, καὶ τοῖς μαντευομένοις· οὐαὶ τοῖς μαινομένοις μετὰ τῶν βλασφήμων Αἱρετικῶν· καὶ τοῖς ἐνυβρίζυσι τὰς θείας Γραφάς· καὶ τοῖς ἀμελῶσι, καὶ ἀπολοῦσι τὸν καιρὸν, ὃν κακῶς ἐδαπάνησαν, ἕως πολλὰ ζητήσυσιν αὐτὸν, καὶ ὐχ ὑρήσυσιν· καὶ τὸν δικαιῶντα τὸν ἀσεβῆ οὕνεκεν δώρων· καὶ τοῖς ἁρπάζυσι τὰ ἀλλότρια· καὶ ἵνα σωτέρως εἴπω, οὐαὶ πᾶσι τοῖς ἐξ ἀρετῶν λαχῶσιν, ὅτι σκοτιθήσονται καὶ τρομάξυσι, καὶ τὰς ὀδόντας τρίξουσιν, ὅταν ἀκούσωσι· „Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι". Τότε λοιπὸν ἀπελαύνονται μετὰ μεγάλυ φόβυ ἀπὸ τοῦ βήματος, παραδοθέντες εἰς τὰς τῶν θανάτυ χεῖρας, ἵνα ποιμανῇ αὐτύς. τότε χωρίζονται ἀπ' ἀλλήλων, καὶ ἀποδημῶσιν ἀποδημίαν, ἐπιστρεφῶν ὐκ ἔχυσαν· τότε ἀποχωρίζονται Ἐπίσκοποι ἀπὸ Συνεπισκόπων, καὶ Πρεσβύτεροι ἀπὸ Συμπρεσβυτέρων, καὶ Διάκονοι ἀπὸ Συνδιακόνων. Τότε διαχωρισθήσονται ὡς ἀνδράποδα οἱ Βασιλεῖς, καὶ κλαύσυσιν ὡς νήπια, καὶ ἐξεπαθήσονται ἀνιλεῶς. Τότε στενάξυσιν Ἄρχοντες, καὶ ἀποβλέψυσιν οὔθεν κἀκεῖθεν, καὶ ὐδεὶς ὁ βοηθῶν, ἐπείπερ ὐ πλῆτος φαίνεται, ὅτε οἱ κόλακες παρέσανται. Τότε διαχωρισθήσονται Γονεῖς καὶ Τέκνα, Πατὴρ καὶ Υἱὸς, Μήτηρ καὶ Θυγάτηρ, φίλοι ἀπὸ φίλων, καὶ συγγενεῖς ἀπὸ συγγενῶν. Τότε διαχωρισθήσονται ἐλεεινῶς ἀνδρόγυνα, τὰ μὴ φυλάξαντα τὴν ἑαυτῶν κοίτην ἀμίαντον. Τότε λοιπὸν ἐλαυνόμενοι καὶ τυπτόμενοι ὑπὸ ἀγρίων Ἀγγέλων, καὶ μὲ βίαν ὠθούμενοι, ἀπέρχονται τὰς ὀδόντας τρίζοντες, καὶ πικροτέρως ὑποστρεφόμενοι εἰς τὰ ὀπίσω διὰ νὰ ἰδῶν τὰς δικαίυς, ὅθεν ἐχωρίσθησαν· καὶ βλέποντες τὴν χαρὰν καὶ τὸ φῶς ἐκείνων, ὀδυρόμενοι πικρῶς ἀποκρύβονται. Λοιπὸν μηκέτι ἰδεῖν δυνάμενοι εἰς τὰ ὀπίσω, καὶ ἐγγίζοντες τῷ χαλεπῷ τόπῳ ἐκείνῳ ὅπυ διαμερίζονται εἰς ὅλυς αἱ κολάσεις, τότε θεωρῶντες τὴν τελείαν ἀπόφασιν, καὶ ὅτι ὐδεὶς ὁ παρακαλῶν ὑπὲρ αὐτῶν, καὶ ὐδὲ τρόφασις καταλαμβάνει ἵνα ἀνακύψωσιν, ὀλολύζοντες λέγυσιν· Ὦ πόσον καιρὸν ἀπωλέσαμεν ἐν ἀπωλείᾳ, πῶς ἐνέμπαιξεν ἡμᾶς ὁ μάταιος βίος, πῶς ἄλλυς θεωρῶντες ἀγωνιζομένυς ὐκ ἠγωνιζόμεθα, ἀλλὰ τῶν Ἁγίων Γραφῶν ἀκύοντες, ἐγελῶμεν χλευάζοντες αὐτὰ καὶ τὰς ἀναγινώσκοντας. Ἐκεῖ ὁ Θεὸς ἐλάλησε, καὶ ὐ προσείχομεν, ὧδε καὶ ἡμεῖς βοῶμεν, καὶ αὐτὸς ἀποστρέφει τὸ πρόσωπον αὐτοῦ ἀφ' ἡμῶν. Τί ὠφέλησεν ἡμᾶς ὁ Κόσμος; πῦ Πατήρ ἐστιν ὁ γεννήσας; πῦ Μήτηρ ὀδυνῶσα; ποῦ τέκνα, πῦ φίλοι, πῦ ὁ πλῆτος; πῦ ὁ θόρυβος καὶ τὰ ἄεισα; ποῦ ὁ πολὺς καὶ ἄκαιρος δρόμος, πῦ ἡ δυγένεια καὶ οἱ γνώριμοι; πῦ οἱ Βασιλεῖς, καὶ οἱ Δυνάσται, καὶ οἱ Σοφοί; πῶς ἑκάστυ τύπων πάντων ὐδὲν ἔχομεν ὄφελος ἡμεῖς οἱ ἐλεεινοί; Τότε θεωρῶντες τὴν παντελῆ ἐγκατάλειψιν καὶ τοῦ Θεοῦ καὶ τῶν Ἁγίων, μετὰ στεναγμῶν καὶ πικρῶν δακρύων λέγυσι· Σώζεσθε Ἅγιοι καὶ Δίκαιοι, ὅθεν καὶ ἡμεῖς ἐχωρίσθημεν· σώζεσθε φίλοι καὶ συγγενεῖς· σώζεσθε Πατέρες καὶ Μητέρες· σώζεσθε Υἱοὶ καὶ

Θυ-

Θυγατέρες· σώζεσθε Ἀπόστολοι, καὶ Μάρτυρες, καὶ Προφῆται Κυρίου· σώζεσθε τὰ πάγματα τῶν Μοναχῶν. σώζου καὶ σὺ Δέσποινα ἡ Θεοτόκος, ὁπῶ πολλὰ παρεκάλεσας δι' ἡμᾶς, ἀλλ' ἡμεῖς οὐκ ἠθελήσαμεν μετανοῆσαι καὶ σωθῆναι· σώζου καὶ σὺ τίμιε καὶ ζωοποιὲ Σταυρέ· σώζου ὁ Παράδεισος τῆς τρυφῆς· σώζου ἡ ἄνω Ἱερουσαλὴμ τῶν πρωτοτόκων· σώζου ἡ Βασιλεία τῶν Οὐρανῶν ἡ μὴ ἔχουσα τέλος. σώζεσθε πάντες ὁμῶς, οὐκ ἔτι γὰρ θεασώμεθα τινὰ ἐξ ὑμῶν, ἐπείπερ εἰς Κρίσιν κολάσεως ἀπερχόμεθα, μὴ ἔχουσαν τέλος, ἢ ἄνεσιν. καὶ λοιπὸν ἀπέρχεται ἕκαστος εἰς τὸν ἡτοιμασμένον αὐτῷ τόπον, ὃν ἡτοίμασαν ἑαυτοῖς οἱ μὴ θέλοντες μετανοῆσαι, ἵνα λυτρωθῶσιν ἐκ τῆς ὀργῆς ἐκείνης καὶ ἀνάγκης. Ἕως ἐδῶ ἠκούσατε τοῦ ἀπόφασιν, καὶ τί παθαίνουσιν οἱ ἀμελοῦντες, καθὼς ἠκούσατε καὶ περὶ τῆς φοβερᾶς ὥρας ἐκείνης.

Περὶ ταύτης ἂς φροντίσωμεν, Ἀδελφοὶ, ὅτι ἐκείνη ἐστὶν ἡ δοκιμάζουσα ὅλον τὸν βίον ἡμῶν. Περὶ ταύτης τῆς φοβερᾶς ὥρας ἡ Ἁγία Γραφὴ, ἀπὸ Ἀνατολῶν ἕως Δυσμῶν ἐν ταῖς Ἐκκλησίαις βοᾷ καὶ λέγει· „Δεῦτε πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς“. καὶ πάλιν λέγει· „Ἐγώ εἰμι ἡ ζωὴ καὶ ἡ ἀλήθεια“. Ταύτην τὴν ὁδὸν καὶ τὴν ἀλήθειαν ἂς ἀγαπήσωμεν, Ἀδελφοὶ, ἵνα εὐαρεστήσωμεν τῷ Θεῷ. Ὦ ἡ δόξα καὶ τὸ κράτος, ἡ προσκύνησις καὶ μεγαλοπρέπεια, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΝΑΣΤΑΣΙΟΥ ΤΟΥ ΣΙΝΑΙΤΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΤΟΥ ΑΓΙΟΥ ΣΙΝΑ ΟΡΟΥΣ.

Εἰς κοιμηθέντας ἐν Χριστῷ Ἀδελφούς.

ΛΟΓΟΣ ΤΡΙΤΟΣ

Εὐλόγησον Πάτερ.

Τί τοῦτο σήμερον (α), Ἀγαπητοὶ, πουδαίως ὁμῶς ἐσωμάχθημεν; Διότι ἐκάλεσαν ἡμᾶς οἱ πρὸς Χριστὸν ἀπὸ ἡμᾶς καλεσθέντες Ἀδελφοί. διὸ καὶ προσέλθωμεν προθύμως πρὸς Χριστῶ ὑμνῳδίαν, ὅτι ἀνέστησαν ἡμᾶς, ἵνα ποιήσωμεν δοξολογίαν ἐπὶ τῆς γῆς, οἱ μετὰ Ἀγγέλων δοξολογοῦντες ἐν Οὐρανοῖς· καὶ χορὸς συστησάμενοι, καὶ τράπεζαν ἡμῖν πνευματικὴν παραθέμενοι οἱ τῆς τρυφῆς τοῦ Παραδείσου χορταζόμενοι, οἱ τῆς ἐκεῖσε ἐμπεπλησμένοι ἀναπαύσεώς τε καὶ παρακλήσεως· καὶ φῶτα ἀνάψαντες, οἱ τὰς ἑαυτῶν καρδίας φωτίσαντες, καὶ πρὸς τὸ φῶς τὸ ἄδυτον δρα-

μόν-

(α) Οὗτος ὁ Λόγος ἀναγινώσκεται τῷ Σαββάτῳ τῶν ψυχῶν.

μόντες. Ἔλαβον γὰρ ἀπὸ ἡμᾶς τὰς Ὁσίους οἱ πρὸς Χριστὸν Ὅσιοι, καὶ μετέστησαν ἀπὸ ἡμᾶς οἱ ποτὲ διεισκόμενοι μεθ' ἡμῶν· μετεστάθησαν ἀπὸ ἡμᾶς οἱ καλῶς πρὸς Θεὸν ἐμπορευσάμενοι. Ἀφῆκαν ἡμᾶς ὀρφανὰς, καὶ ἀπῆλθον πρὸς τὴν ἀυτῶν Πατρίδα· ἀφῆκαν τὴν φθορὰν, καὶ πρὸς τὴν ἀφθαρσίαν ἀνῆλθον· ἔλειψαν ἐκ τοῦ Κόσμου, καὶ πρὸς Χριστὸν ἀνέτειλαν. Ἐξῆλθον ἐκ τῆς καλύβης, καὶ ἐκατοίκησαν εἰς τὴν ἄνω Ἱερουσαλὴμ· ἀφῆκαν τὴν τοῦ βίου ματαιότητα, καὶ ἔφθασαν εἰς τὴν ἄνω μακαριότητα· ἀφῆκαν τὰς ματαίας συγχύσεις, καὶ ὤδευσαν εἰς τόπους εἰρηνικοὺς· ἐξῆλθον ἐκ τοῦ χειμῶνος καὶ τῆς φυρτόνας τοῦ Κόσμου, καὶ ἄρραξαν εἰς τοὺς γαλήνους λιμένας· ἀφῆκαν τὴν τοῦ Κόσμου ματαίαν σκιὰν, καὶ πρὸς τὸν Ἥλιον τῆς δικαιοσύνης ἀνέδραμον. Καὶ γὰρ, ὅταν ἦσαν μεθ' ἡμῶν, ὡς οὐκ ὄντες μεθ' ἡμῶν, τὸν νοῦν εἶχον πάντοτε πρὸς τὸν Θεὸν· καὶ διεισκόμενοι εἰς τὴν γῆν, τὸ πολίτευμα εἶχον εἰς τοὺς Οὐρανοὺς· καὶ ζῶντες ἐν σαρκὶ, οὐκ ἦσαν ἐν σαρκί. Οὐ γὰρ εἶχον ὧδε μένουσαν Πόλιν, ἀλλὰ τὴν ἄνω Ἱερουσαλὴμ· οὐκ εἶχον ὧδε πρόσκαιρον πλοῦτον, ἀλλὰ τὸν Οὐράνιον πλοῦτον. Ξένοι καὶ παρεπίδημοι ἦσαν, καθὼς πάντες οἱ Πατέρες ἀυτῶν· ξένοι τοῦ Κόσμου, καὶ τῶν τοῦ Κόσμου πραγμάτων· ὅτι τὴν ψυχὴν ἀυτῶν πάντοτε κατεσόλιζαν, τὰ ἄνω φρονοῦντες, τὰ ἄνω σκοπεύοντες· τὰς ἐκεῖ μονὰς, τὰς ἐκεῖ κατοικίας, τὰ ἐκεῖ κάλλη ἐπιθυμοῦντες· τὰς ἄνω χορεστασίας, τὰς ἄνω ὑμνῳδίας, τὰς ἐκεῖ ἑορτὰς, καὶ αἰώνια ἀγαθὰ, καὶ Θεοῦ χαρίσματα. Πρὸς ἐκεῖνα ἐσκόπευον, πρὸς ἐκεῖνα ἔτρεχον, διὰ τοῦτο καὶ ἔτυχον· ἐκοπίασαν, διὸ καὶ εἰσῆλθον εἰς τὴν φωτεινὴν τοῦ νυμφῶνος κατοικίαν· ἐπόνεσαν, διὸ καὶ εὐφραίνονται· δεῦ ἀμέλησαν, διὰ τοῦτο καὶ ἀναπαύονται· ἐφρόνησαν, ὅτι τῶν τοῦ Κόσμου πραγμάτων κατεφρόνησαν. Ἐξῆλθον ἐκ τοῦ Κόσμου, καὶ ἀπῆλθον τὴν καλὴν ὁδὸν καὶ Θεάρεστον· ἐξῆλθον, καὶ ἀπῆλθον εἰς τὴν χώραν τὴν ἁγίαν καὶ αἰώνιον· ἐξῆλθον ἔξαφνα, καὶ ἐπετάθησαν ὡς χελιδόνες καλόφωνοι· ἐπετάθησαν ὡς τρυγόνες ἐρημικαὶ καὶ καθαρώταται· ἐχωρίθησαν τῆς ποίμνης ἡμῶν ὡς ἀρνία καθαρά. Μετέστησαν τῆς μάνδρας, καὶ σκάζουσι τὰ πρόβατα· ἀφῆκαν τὴν φωλεὰν ἡμῶν, καὶ βοῶμεν ὡς μικρὰ ἀυτῶν πτηλία· ἐχωρίθη τὸ μέλος, καὶ λυποῦνται τὰ λοιπὰ μέλη· δακρύομεν, ὅτι τῆς συνωδίας σας ἐχωρίθημεν· σκάζομεν, ὅτι τοὺς χαρακτῆρας σας δεῦ βλέπομεν· ὀδυνώμεθα, ὅτι οὔπω ἔξαφνα ἁρπαζόμεθα· ὀδυρόμεθα, ὅτι καὶ ἡμεῖς ὀγλίγωρα ἀπερχόμεθα· λυπούμεθα, ὅτι τῆς ἀρετῆς σας ἐνθυμούμεθα. Τοὺς ὀφθαλμοὺς περιστρέφομεν, καὶ τὴν ἀγάπην σας δεῦ βλέπομεν· δακρύομεν, ὅτι καὶ τὰ ζῶα δακρύουσιν ἐπὶ τῷ χωρισμῷ τῶν ὁμοφύλων ἀυτῶν· ὀδυρόμεθα, ὅτι καὶ οἱ βόες μυγγίζουν ἐκζητοῦντες τοὺς ὁμοζύγους ἀυτῶν· καὶ χελιδόνες βοῶσιν, ἁρπαζομένων τῶν πτηλίων ἀυτῶν· καὶ ἄρνες κράζουσι, χωριζομένων τῶν ἀδελφῶν ἀυτῶν. Ὅτι, ἐὰν καὶ εἰς ἐσᾶς εἰς συμφέρον ὁ θάνατος ἐγένετο, ἀλλὰ εἰς ἡμᾶς λύπην ἐποιήσατε· τὸ ἐδικόν σας μαρτύριον ἔγινεν εἰς ἐσᾶς ἐπιθυμητὸν, ἀλλὰ εἰς ἡμᾶς ἔγινε θλῖψις· „ Τίμιος ἐνώπιον Κυρίου ὁ θάνατος τῶν ὁσίων ἀυτοῦ, τῶν δὲ ἁμαρτωλῶν ὁ θάνατος πονηρός ".

Διὸ

Διὸ καὶ ἔλεγεν ὁ Προφήτης· „ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; ἡ „ἀνομία τῶν πτερνισμάτων μου κυκλώσει με". Ὅτι ἔρχεται ἡμέρα καὶ ὥρα, Ἀδελφοί· ἔρχεται, οὐ θέλει λείψῃ· ὅταν ἀφήσῃ ὁ ἄνθρωπος πάντα, καὶ πάντας, καὶ ἀπέλθῃ μόνος καὶ μεμονωμένος, γυμνὸς καὶ ἀβοήθητος, ἀσωμόδυτος καὶ ἀνέτοιμος, καὶ ἀπαρρησίαστος, ἐὰν εἰς ἀμέλειαν εὑρεθῇ ἐν ἡμέρᾳ, ὅπου οὐ γινώσκει, καὶ ἐν ὥρᾳ, ὅπου οὐ παντυχόνει· εἰς ὅσον χαίρεται καὶ θησαυρίζει, εἰς ὅσον ἀημερεῖ καὶ οὐ μεριμνᾷ διὰ τὴν ψυχὴν αὐτοῦ. Ἔρχεται ἔξαφνα μία ὥρα, καὶ ὅλα παύσῃ· μικρὸς πυρετὸς καὶ πόνος, καὶ ὅλα εἰς οὐδὲν λογιθήσονται· μία νύξ βαθεῖα καὶ σκοτεινὴ καὶ ὀδυνηρὰ, καὶ φέρεται ὡς κατάδικος ἐκεῖ, ὅπου τὸν πέρνυσι. Πολλῶν σοι, ἄνθρωπε, τῶν ὀδυνῶν χρεία, πολλῶν σοι τῶν βοηθῶν καὶ δυνατῶν ἐν τῇ ὥρᾳ ἐκείνῃ τοῦ χωρισμοῦ τῆς ψυχῆς σου. Μέγας τότε ὁ φόβος καὶ ὁ τρόμος, μέγα τὸ Μυστήριον καὶ ἡ περίστασις· μεγάλη ἡ διάβασις πρὸς ἐκεῖνον τὸν Κόσμον· διότι, ἐὰν ἀπὸ χώραν ἀπερχόμενοι ὁδηγῶν τινῶν χρειαζόμεθα, πόσον περισσότερον ὅταν ὑπάγωμεν εἰς τὸν ἀπέραντον αἰῶνα, ὅθεν οὐδεὶς ἐκεῖθεν ἐστράφη; Πολλῶν σοι, λέγω, τότε τῶν βοηθῶν ἡ χρεία ἐν ἐκείνῃ τῇ ὥρᾳ. Ἡ μόνη ὥρα, καὶ οὐχὶ ἄλλη ὥρα· ἡ μόνη γέφυρα, καὶ πέραμα ἕτερον μὴ ἔχουσα· τὸ πάντων τέλος, καὶ ὁ πάντων φόρος. Σκληρὸν τὸ πέραμα, ἀλλὰ ὅλοι δι' αὐτοῦ ἀπερχόμεθα· στενὴ καὶ τεθλιμμένη ἡ στράτα, ἀλλὰ πάντες δι' αὐτῆς ἀπερνῶμεν. πικρὸν καὶ δεινὸν τὸ ποτήριον, ἀλλὰ πάντες αὐτὸ, καὶ οὐχὶ ἄλλο πίνομεν. μέγα καὶ ἀνεκδιήγητον τὸ τοῦ θανάτου Μυστήριον, καὶ οὐδεὶς ἡμῖν δυνάται νὰ τὸ διηγηθῇ· ὅτι φοβερὰ καὶ φοβερὰ ἅπερ τότε βλέπει ἡ ψυχὴ, ἀλλὰ οὐδεὶς ἀπὸ ἡμᾶς ταῦτα γινώσκει, εἰμὴ μόνον ἐκεῖνοι οἱ προερχόμενοι. Οὐ βλέπεις, εἰπέ μοι, ὁπόταν πρὸς τοὺς τελευτῶντας Ἀδελφοὺς καὶ ψυχορραγοῦντας παρακαθήμεθα, ποῖα φοβερὰ βλέπομεν τότε γενόμενα; πῶς παράσσονται καὶ σπαίζουσι; πῶς ἱδρώνουσι ψυχρὸν καὶ πικρὸν, ὥσπερ οἱ θειναὶ εἰς τὸ χωράφιον; Πῶς τοὺς ὀφθαλμοὺς περιστρέφουσιν ἐδῶθεν καὶ ἐκεῖθεν; πῶς μεμοὶ τείζουσι τοὺς ὀδόντας καὶ τρομάσσουν; πῶς παράσσονται καὶ τὰς τείχας αὐτῶν ἀναστάζουσι; πῶς ἐκ τῆς κλίνης σηκώνονται, καὶ φεύγειν βουλόμενοι, οὐ δυνάνται, διότι βλέπουσιν ἐκεῖνα, ὅπου οὐδέποτε εἶδαν, καὶ ἀκούουσιν ἐκεῖνα, ὅπου οὐδέποτε ἤκουσαν, καὶ παθόνουσιν ἐκεῖνο, ὅπου οὐδέποτε ἔπαθον. Ζητοῦσι τὸν λυτρούμενον, καὶ οὐδεὶς λυτρώνει αὐτούς· ζητοῦσι τὸν σωμοδοῦντα, καὶ οὐδεὶς ὁ σωμοδοῦν· παρακαλοῦσι, καὶ οὐδεὶς ὁ τολμῶν· τοὺς ὁποίους βλέποντες ἡμεῖς, τρέχομεν καὶ κλαίομεν, καὶ κρατοῦντες τὰς χεῖρας αὐτῶν, ἀσπαζόμενοι τοῖς δάκρυσι βρέχομεν, καὶ σφογγίζομεν τὸν ἱδρῶτα τοῦ προσώπου αὐτῶν, καὶ τοὺς ὀφθαλμοὺς ἀσπαζόμεθα, τοῦ δὲ γλῶσσαν φλεγομένου δροσίζομεν ὕδατι· τὰ αὐτία ἡμῶν σιμώνοντες, ἵνα τῶν μικρῶν λογίων αὐτῶν ἀκούσωμεν, εἶπα καὶ ἐρωτῶμεν αὐτοὺς λέγοντες· πῶς βλέπεις σεαυτὸν, Ἀδελφέ; μὴ οὖν φοβοῦ, ὅτι φιλάνθρωπος ἐστὶν ὁ Θεός.

Ταῦτα πρὸς αὐτοὺς λέγοντες, καὶ τὰ στήθη τοῖς δάκρυσι βρέχομεν, καὶ τοῦ καρδίαν καπνιόμεθα, ὅτι ταῦτα λέγωμεν. Οὐκ ἔστιν εἰς ἡμᾶς τό-

τε ἔρωτας πονηρὸς, ὐκ ἔςι τότε χρημάτων φροντίδα, ϗ φαγητῶν. Ἀλλὰ βλέποντες τὸ μέγα τȣ θανάτȣ Μυςήριον, τρέμομεν, ϗ τὰς κεφαλὰς ἡμῶν κινȣμεν, ϗ τὸ ὄμμα συγνάζοντες, ἑαυτȣς παλαίζομεν, ȣἰ ȣἰ ἡμῖν λέγοντες, ὁπόταν πρὸς ἡμᾶς ὁ ἐρχόμενος, εἰς ὅλȣς ἡμᾶς ἀποχαιρετᾷ ϗ λέγει· Ἔρρωσθε, Ἀδελφοί μȣ καλοὶ, ἔρρωσθε, ϗ ὑπὲρ ἐμȣ τῇ ὥρᾳ ταύτῃ ἀνασαίνετε προσȣξάσθε· ὅτι εἰς ὁδὸν μακρὰν νυῦ ἀπέρχομαι, εἰς τινὰ ὁποίαν ȣδέ ποτε ἐπεριπάτησα· ϗ εἰς χώραν ξένην, ὅπου ȣδεὶς ἐκεῖ με γνωρίζει· ϗ εἰς Κόσμον φοβερὸν, ὅθεν ȣδεὶς ἐςράφηκε. Λοιπὸν σῴζεσθε, ἀγαπητοὶ Ἀδελφοὶ ϗ φίλοι, ὅτι ἐγὼ πλέον ὐκ εἰμὶ φίλος, ἀλλὰ ξένος· σῴζȣ καλὴ συνοδία, ἀλλὰ ὐκ ἔτι μȣ συνοδία, εἰμὴ θρηνῳδία. Σῴζεσθε πάντες, ϗ δεῦτε καταλάβετε· ἀναμενόμενόν σας γὰρ ἐκεῖ, ἵνα ἔλθετε, ἐγὼ δὲ πλέον δεὺ ἔρχομαι πρὸς ἐσᾶς. Εἴτι οἴδαμεν, οἴδαμεν, ϗ εἴτι ἐπράξαμεν, ἀπολαμβάνομεν. Φέρομαι, ϗ οὐ γινώσκω πȣ ἀπέρχομαι. νυῦ εἴτι ἀγαθὸν ἔπραξα, τȣτο ϗ ἀπαντήσει μοι· εἴτι δ' αὖ ἐπὶ τῆς γῆς ἐθησαύρισα, τȣτό μοι ὄφελος. ἐαύτινα ἠλέησα, αὐτῇ τῇ ὥρᾳ ἐλεηθήσομαι· ἐαύτινα ἐσκέπασα, νυῦ σκεπασθήσομαι. Ὅτι βαρεῖα ϗ πικρὰ αὕτη ἡ ὥρα τȣ χωρισμȣ τῆς ψυχῆς μȣ ὑπὲρ πᾶσαν ὥραν· ὅτι ἀνέτοιμος ἐπάρθηκα, σκοτεινή μοι ἡ παρȣσα νύξ· ὅτι ἄκαρπος ἐκόπηκα, βαρέα μοι ἡ ἀπολογία. Δῶρα ὐκ ἔχω, ϗ παρακαλῶσας, δακρύσατε ἐπ' ἐμοί· συμπαθήσατε, ϗ προσȣξάσθε πρὸς Κύριον, ἵνα εὕρω ἐκεῖ μικραν ἄνεσιν· ἵνα λάβω ἐκεῖ μικρὸν ἔλεος, ὅτι πολλὰ ἥμαρτον. Καὶ τίμοι κηρία ἀνάπτετε Ἀδελφοὶ, ὅτι ἐγὼ τȣὺ λαμπάδα τῆς ψυχῆς μȣ δεὺ ἄναψα; Τί δέ με ἐνδύματα λαμπρὰ ἐνδύετε, ὅτι ὐκ ἔχω ἐμαυτῷ γάμȣ ἔνδυμα; Τί δέ μȣ ϗ μὲ ὕδωρ τὸ σῶμα ἐπλυνέτε, ὅτι ὐκ ἔπλυνα ἐμαυτὸν τῷ τῶν δακρύων ὕδατι; Τί δέ με ϗ εἰς τάφον μετὰ ὁσίων κατατίθετε, ὧν τὸν βίον ϗ τὸν τρόπον ὐκ ἔπραξα; Οἴμοι πῶς ἐμαυτὸν ἐπλανήσα, ϗ ἐνέπαιξα, λέγων· Ὅσον εἰμὶ νέος, ἀπολαύσω τὰς τȣ Κόσμȣ χαρᾶς, θεραπȣσω μȣ τȣὺ σάρκα, ϗ ἐν ὑςέροις μετανοῶ, ὅτι ὁ Θεὸς φιλάνθρωπος ὢν, πάντως ποιήσει μου τȣὺ συγχώρησιν. Ταῦτα ἐννοῶν καθ' ἡμέραν τȣὺ ζωȣύ μȣ κακῶς ἐξωδίασα· ἐδιδασκόμȣν, ϗ ὐ προσεῖχον· ἐρμηνȣόμȣν, ϗ κατεγέλων· ἤκȣα τῶν Γραφῶν, ϗ ὡς μὴ ἀκȣόν ἐποίȣν· ἤκȣον περὶ Κρίσεως ϗ θανάτȣ, ϗ ὡς ἀθανάτος ϗ αἰώνιος κατεφρόνȣν· ϗ ἰδȣ ἀνέτιμος ἀπέρχομαι, ϗ ȣδεὶς ὁ βοηθῶν· ἰδȣ ἀμετανόητος ἐφθάσθηκα, ϗ ȣδεὶς ὁ ἀπαλλάττων· ἰδȣ δέομαι, ϗ ȣδεὶς ὁ εἰσακȣών· ἰδȣ καταδικάζομαι, ϗ ȣδεὶς ὁ λυτρȣμενος. Δικαία ἡ κρίσις τȣ Θεȣ· ποσάκις μετανοεῖν σωπασόμȣν, ϗ πάλιν χειρότερον ἔπραττον· ποσάκις μὲ ἠλέησεν, ἐγὼ δὲ παρώργιζα.

Ταῦτα πολλάκις τȣ τελȣτῶντος πρὸς ἡμᾶς διαλεγομένȣ, ἔξαφνα δαίνεται ἡ γλῶσσα αὐτȣ, ἀλλοιȣνται οἱ ὀφθαλμοὶ, χαίνεται ὁ νȣς, σιγᾷ τὸ σόμα, κωλȣεται ἡ φωνή. Ὁπόταν αἱ Δεσποτικαὶ δυνάμεις ἔλθωσιν, ὅταν αἱ φοβεραὶ Στρατιαὶ φθάσωσι, ϗ καλȣσι τȣὺ ψυχȣὺ ἐκ τȣ σώματος, ὅταν οἱ ἀπαρακάλεσοι ὑπηρέται εἰς τὸ Κριτήριον βιαίως ἀποφέρωνται, ἐμβλέψας εἰς αὐτȣς ὁ παλαίπωρος ἄνθρωπος, κἂν Βασι-

λȣς

λοῦς εἶναι, κἂν Δυνάστης, καὶ Τύραννος, κἂν Κοσμοκράτωρ, ὅλος τρέμει, ὡς φύλλον ὑπὸ ἀνέμου, ὅλος παράσσεται, καὶ ὀξίσταται, βλέπων δυνάμεις φοβερὰς, καὶ μορφὰς ξένας καὶ δυνατάς· βλέπων πρόσωπα τρομακτικὰ καὶ αὐστηρά· βλέπων τάξιν οὐ οὐδέ ποτε ἴδε, καὶ πρὸς ἑαυτὸν ἐννοῶν λέγει· Εὐλογητὸς ὁ μόνος ἀθάνατος καὶ αἰώνιος Βασιλεύς. Τί ἐστι πρὸς ταῦτα τὰ Βασίλεια, ἐπίγειος Βασιλεία; τί ἐστιν ὀξυσία τῶν ἀνθρώπων ἡ ματαία καὶ ἀπάνθρωπος; ἰδοὺ ἀληθῶς Στρατιαὶ αἱ Οὐρανίαι· ἰδοὺ μορφαὶ φοβεραὶ τοῦ μόνου φοβεροῦ· ἰδοὺ ὑπηρέται δυνατοὶ τοῦ μόνου δυνατοῦ Θεοῦ. Καὶ ταῦτα ὁ τότε φερόμενος βλέπων μόνον, πρὸς ἡμᾶς πλέον δὲν κοπάζει, ἀλλὰ πρὸς τὰς δυνάμεις, ὅπου τὸν κράζουσι βλέπει, καὶ ὀξίσταται· ἴσως δὲ καὶ τινας δεήσεις ὑποψιθυρίζων, καθὼς ἡ γλῶσσα δύναται, παρακαλεῖ αὐτούς· ἀπὸ τῶν ὁποίων λογίων καὶ χημάτων πολλάκις οἱ παρεκόμενοι νοῦμεν, ὅτι τὰς δεσποτικὰς Δυνάμεις ὁρᾷ, καὶ ὅλοι σωφρόνοι γενόμενοι φείττομεν, καὶ πρὸς ἀλλήλους διανοούντες, λέγομεν· ἡσυχάσατε δὴ, ἡσυχάσατε, καὶ τὸν κατακείμενον μὴ συγχύσετε· εἰρηνεύσατε καὶ σκοπήσατε, καὶ τὸν κατακείμενον μὴ ἐνοχλήσετε· σιωπήσατε καὶ μὴ λαλεῖτε, ἵνα μὴ αὐτὸν θορυβήσετε. μὴ θρηνήσετε, ἵνα μὴ αὐτὸν παράξετε. Προσεύξασθε, ἵνα μετὰ εἰρήνης ἡ ψυχὴ αὐτοῦ ἐξέλθῃ· δεήθητε, ἵνα τόπον ἀνέσεως λάβῃ· προσεύξασθε, ἵνα φιλανθρώπους Ἀγγέλους ἔχῃ· προσπέσατε, ἵνα ἐν ἡμερότητι τὸν Δεσπότην εὕρῃ· εὐωδίαν θυμιάσατε, ὅτι τοῦ Ἀγγελικοῦ παρουσίαν ἴδε· παρακαλέσατε, ὅτι εἰς μεγάλον κόπον πόρα παρεκένεται· σκοπήσατε, ὅτι καὶ ἐσεῖς τοῦτο παθεῖν ἔχετε· ἐμβλέψατε, καὶ τοῦ Μυστηρίου τούτου μὴ ἀσχήσετε, καὶ τῆς ὥρας ταύτης φροντίσατε. Τί γάρ ἐστιν ἄνθρωπος; ὀδυνή· σκώληξ, τέφρα, σκιὰ, καὶ ὄνειρον. Ἴδε, διέβη, καὶ ἀπῆλθον, ἔπαυσε καὶ κατεσίγησον ἐκεῖνος ὁ πολὺς, ὁ ἀνδρειωμένος, ὁ Τύραννος, ὁ Δυνάστης, ὁ ὑψηλὸς, ὁ εἰς πάντας φοβερὸς κεῖται ὡς πρόβατον. Ἴδε, ἀπῆλθε, καὶ παρῆλθον, ὁ φανεὶς, ὡς μὴ φανεὶς· ὁ γεννηθεὶς, ὡς μὴ γεννηθείς· ὁ πολὺς ὑπὲρ πολλοὺς, ἔγινον ὡς ὀδείς· ὁ δαίνων, ἐδέθη, καὶ ἰδοὺ τὸν ὑπάγουσιν· „Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ".

Τότε παραλαβόντες οἱ Ἄγγελοι τοῦ ψυχοῦ, διὰ τοῦ ἀέρος ἀπέρχονται, ἐν ᾧ ἵστανται Ἀρχαὶ καὶ Ἐξουσίαι, καὶ οἱ Κοσμοκράτορες τῶν ἐναντίων δυνάμεων· οἱ πικροὶ ἡμῶν κατήγοροι, οἱ σκληροὶ τελῶναι καὶ λογοθέται, καὶ φορολόγοι ἐν τῷ ἀέρι συναπαντῶντες, λογοθετοῦντες, καὶ ἐξετάζοντες· προσφέροντες τὰ τοῦ ἀνθρώπου ἁμαρτήματα καὶ χειρόγραφα, τὰ ἐν νεότητι καὶ ἐν τῷ γήρει, τὰ ἑκούσια, καὶ ἀκούσια, τὰ δι' ἔργων καὶ λόγων καὶ ἐνθυμήσεων. Πολὺς ὁ φόβος ἐκεῖ καὶ ὁ τρόμος τῆς ἀθλίας ψυχῆς· ἀδιήγητος ἡ ἀνάγκη, οὗ ἔχει τότε ὑπὸ τοῦ πλήθους τῶν μυριάδων ἐχθρῶν αὐτῆς, κρατουμένη, συκοφαντουμένη, ἐμποδιζομένη, ἵνα μὴ πρὸς Οὐρανοὺς ἀνέλθῃ, ἵνα μὴ ἐν φωτὶ καὶ ἐν χώρᾳ ζώντων κατοικήσῃ. Καὶ ἡ μὲν ψυχὴ ἀποφέρνεται ὑπὸ τῶν Ἁγίων Ἀγγέλων, ἡμεῖς δὲ τὸ θνητὸν σῶμα κηδεύσαντες, καὶ ὡς ξένον ἐκ τοῦ οἴκου αὐτοῦ ἐξαγάγοντες, πρὸς τὸν τάφον παιδαίως τὸ φέρνομεν τότε. Καὶ ἐκεῖ βλέπομεν ἄλλο μέγα

καὶ

καὶ φοβερώτατον Μυστήριον, κατανοοῦντες τοὺς νεκροὺς, τοὺς Βασιλεῖς καὶ ἰδιώτας, τοὺς Τυράννους καὶ δούλους ὅλους ὡς χῶμα γενομένους, ὡς κονιορτὸς καὶ δυσωδία, ὡς μία σαπεία καὶ σκώληξ· ὡς ὁ μαῦρος Ἀράπης, ὅπω καὶ ὁ εὔμορφος· ὡς ὁ νέος, ὅπω καὶ ὁ γέρων· ὡς ὁ παράλυτος, ὅπω καὶ ὁ δυνατός· καὶ ὅλοι σὰς κονιορτὸς γενόμενοι, ὅτι γῆ εἶναι, καὶ εἰς γῆν ὑπάγειν· ὃς πολλάκις βλέπομεν κατακειμένους εἰς τοὺς τάφους, καὶ ὑποδείχνομεν ἀλλήλοις μὲ τὸν δάκτυλον, λέγοντες· ἴδε ὁ δεῖνας, καὶ ὁ δεῖνας. Οὗτος εἶναι ὁ δεῖνας Βασιλεὺς, καὶ ἔτος ὁ δεῖνας Τύραννος, καὶ ἔτος ὁ δεῖνας Στρατηγός. Οὗτος ὁ τὸ δεῖνος Ἔγκονος, καὶ αὕτη τὸ δεῖνος ἡ θυγάτηρ· αὕτη ποτὲ φανταζομένη Κόρη, καὶ ἔτος ὁ ποτὲ τολισμένος νεώτερος. Ταῦτα πολλάκις μετὰ τσναγμοῦ λέγομεν εἰς τοὺς τάφους καὶ δακρύομεν, καὶ βλέπομεν τὸ μέγα Μυστήριον, ὅτι πᾶσα ἡλικία ἐκεῖ κατελύθη· πᾶς ὀφθαλμὸς ἐκεῖ ἐσβέσθη· παῦ καλόφωνον τόμα ἐκεῖ ἐφράγη· πᾶσα γλῶσσα γοργὴ, ἐκεῖ ἐσίγησε· πᾶσα εὔμορφη ἡλικία, ἐκεῖ συνετείβη· πᾶσα ἀρχὴ τῶν Ἀρχόντων, ἐκεῖ ἔπαυσεν· ἐκεῖ κατέπαυσε πᾶς ὁ μάταιος κόπος καὶ μόχθος τῶν ἀνθρώπων. Λαλοῦμεν, καὶ οὐδεὶς ὁ προσέχων· ὀξ ὀνόματος κράζομεν τοὺς κεκοιμημένους λέγοντες· ποῦ ἀπήλθετε, Ἀδελφοὶ ἡμῶν, καὶ πῶς διείσκεσθε; δότε ἡμῖν φωνὴν, καθὼς ἐλαλεῖτε ποτὲ, ἐσεῖς οἱ ὀξ ἡμῶν τὸν Κόσμον ἀφήσαντες· ἐκάθισεν ἡ ψυχὴ εἰς τὸν τόπον, καθὼς τῆς ἔπρεπε κατὰ τὴν τάξιν καὶ ἀξίαν αὐτῆς; αὕτη δὲ ἡ πρὸ τῶν ὀφθαλμῶν ἡμῶν εἰ τῷ τάφῳ κειμένη κόνις, αὕτη ἡ δυσωδία καὶ τὰ κόκκαλα καὶ τὰ σώματα εἶναι ἐκείνων τῶν νέων καὶ νεανίδων, ὁποῦ ἠγαπᾶτε ποτέ; αὕτη ἐστὶν ἡ σὰρξ ὁποῦ ἀγκαλιάζετε, καὶ ἀπολάσεως ἐφιλεῖτε; ἔτος ὁ βρῶμος, ἐκεῖνο τὸ πρόσωπον ἐστὶν, ὅπερ νυκτὸς καὶ ἡμέρας ἀχορτάσως κατεφιλεῖτε; αὕτη ἡ ὕλη ἡ ῥυπαρὰ ἡ σάρκα ἐκείνη ἐστὶν, ὁποῦ ἀγκαλιάζεσθε, καὶ ἁμαρτανέτε; Διὸ βλέπετε ἀκριβῶς, καὶ πιστεύσατε οἱ εἰ σαρκὶ ὄντες καὶ εἰ τῷ βίῳ τῷ ματαίῳ· γνωρίσατε, ὅταν εἰς ταῖς κλίναις σας ἀφίνετε ταῖς συμβίαις σας, καὶ μὲ ταῖς πόρναις συμπλέκεσθε· ὅταν εἰς τὸν βόρβορον ἐγκυλίεσθε, γνωρίσατε, ὅτι ὅλα τὰ μέλη ὁποῦ ἐκαπατάζεσθε, δυσωδίαν καὶ κοπρίαν ἐφιλεῖτε· μάθετε, ὅτι ὁπόταν τὴν ἐπιθυμίαν εἰς αὐτὰ ὀξανάπτετε, σκώληκα καὶ σαπείαν ἐπιθυμεῖτε. Μὴ πλανᾶσθε, ὦ νέοι καὶ νεανίδες ἄγνωστοι, εἰς τὸ μάταιον κάλλος τῆς νεότητος· ὅτι καὶ ἡμεῖς, καθὼς αὐτοὺς τοὺς σαπημένους νεκροὺς, ὁποῦ βλέπετε εἰ τῷ Κόσμῳ, ποτὲ ἐφαντάσθημεν, καὶ ἐτολίθημεν, καὶ ἐμεριμνήθημεν, καὶ ἠγαπήσαμεν, καὶ ἀπολαύσαμεν, καὶ ἐχαρήκαμεν, καὶ τώρα, ὡς βλέπετε, εἰς πηλὸν καὶ δυσωδίαν ὅλα κατεστήθησαν. Λοιπὸν μὴ πλανηθῆτε, ἀλλὰ παρ' ἡμῶν τῶν προλαβόντων, καὶ εἰ τῷ τάφῳ κειμένων, διδάχθητε, καὶ σωφρονισθῆτε, καὶ πιστεύσατε, ὅτι εἶναι εἰ τῷ Ἅδῃ κρίσις, καὶ κόλασις ἀτελεύτητος· εἶναι σκότος ἀφώτισον, καὶ γέεννα, καὶ σκώληξ ἀκοίμητος, εἶναι κλαυθμὸς ἀσίγητος, καὶ βρυγμὸς ὀδόντων ἀκατάπαυστος· εἶναι θλῖψις ἀνιάτρευτος, καὶ κρίσις ἀπροσωπόληπτος, καὶ εἶναι ὑπηρέται ἀσυγχώρητοι, καὶ πόνθος πικρὸν καὶ αἰώνιον. Ταῦτα εἰ καὶ μὴ διὰ λόγων, ἀλλὰ διὰ πραγμάτων πρὸς ἡμᾶς, Ἀδελφοὶ, οἱ ἐκεῖ προλα-

λαβόντες διδάσκουσιν ὥσπερ ἡμεῖς σύνθυμούμενοι, ἐδιψῶμεν ὡς ὕδωρ πικρόντι μαθεῖν, ἢ ἀκοῦσαι, ἢ γνῶναι, τὸ πῦ ἄρα εἰσὶν αἱ τούτων ψυχαὶ, ἢ ἄνω, ἢ κάτω, ἢ ἄρα νῦν βλέπουσιν ἡμᾶς, ἢ χαιρεπῶμεν αὐτὰς ἐκεῖ, ἢ τὰς γνωρίζομεν. Ἀλλὰ οὐδεὶς ταῦτα εἶδεν, ὅτι οὐδεὶς ἐκεῖθεν ἐγράφη, ἵνα μιμύσῃ περὶ τῶν ἐκεῖ, πῦ εἰσιν· ἀλλὰ ἀπετείχισεν αὐτὰ ἀπὸ ἡμᾶς ὁ Θεὸς, καὶ ἀπέκρυψεν, ἕως καὶ ἡμεῖς ἀπέλθωμεν, καὶ ἀπολάβωμεν τῶν ἐκεῖ, ὁπόταν ἐκ νεκρῶν ἀναστῶσιν ἅπαντες, καὶ παρασταθῶμεν, καὶ ὁμολογούμεθα, καὶ λογοθετούμεθα εἰς ἐκεῖνο τὸ μέγα καὶ ἀδιήγητον Κριτήριον. Ὅτε ὁ φοβερὸς Κριτὴς ἐξ Οὐρανῦ ἔλθῃ νὰ κρίνῃ πᾶσαν τὴν Οἰκουμένην, ἀπὸ Ἀνατολῶν ἕως Δυσμῶν· ὅτε αἱ φωναὶ τῶν φοβερῶν ἐκείνων σαλπίγγων λαλήσουσιν· ὅτε ἡ Κτίσις πᾶσα φόβῳ καὶ τρόμῳ κλονεῖται καὶ τεταράσσεται· ὅτε οἱ τάφοι ἀνοίγονται, καὶ πᾶσα σάρκα ἀνίσταται γυμνὴ καὶ τετραχηλισμένη· ὅτε πᾶν σόμα φραγήσεται, καὶ πᾶσα γλῶσσα ἐξεπαθήσεται· ὅτε ὁ τῦ πυρὸς ποταμὸς ῥύσει ἔμπροσθεν τῦ Κριτῦ, περὶ τῦ ὁποίου λέγει ὁ Δανιήλ· „Ἐθεώρουν ἕως οὗ θρόνοι ἐ„τέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθισεν". Ὁ θρόνος αὐτῦ φλὸξ πυρός· οἱ τροχοὶ αὐτῦ πῦρ φλέγον· ποταμὸς πυρὸς ἔτρεχεν ἔμπροσθεν αὐτῦ· χίλιαι χιλιάδες ὑπηρετῦσαν αὐτῷ, καὶ μύριαι μυριάδες παρέστηκον αὐτῷ. Κριτήριον ἐκάθισε, καὶ Βίβλοι ἠνοίχθησαν.

Ἐκείνη ἐστὶν ἡ ἡμέρα καὶ ὥρα, περὶ ἧς λέγει ὁ Δαβίδ· „Ἵνα τί φο„βῦμαι ἐν ἡμέρᾳ πονηρᾷ, ἡ ἀνομία τῶν πτερνισμάτων μου κυκλώσει με". Ἐκείνην τὴν ἡμέραν κατηράσατο ὁ Ἰὼβ, λέγων· „Καταράσεται αὐτὴν „ὁ καταρώμενος" τὴν ἡμέραν ἐκείνην ὁ μέλλων παλαῖσαι τὸ μέγα θηρίον τὸν διάβολον. Περὶ ἐκείνης τῆς ἡμέρας καὶ ἕτερος Προφήτης λέγει· „Ἰδὲ ἡμέρα ἔρχεται, λέγει Κύριος". Καὶ τίς νὰ ὑπομείνῃ τὴν ἡμέραν ὁπῦ νὰ ἔλθῃ; Ὅταν ὁ Θεὸς φανερῶς ἔλθῃ, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται, καὶ γύρωθεν αὐτῦ καταιγίδα τρομακτικὴ, προσκαλέσεται τὸν Οὐρανὸν ἄνω καὶ τὴν γῆν, τῦ διακρῖναι τὸν λαὸν αὐτῦ, καὶ πᾶσαν σάρκα εἰς τὸ φοβερὸν ἐκεῖνο Κριτήριον. Ὅπου οὐκ ἔστι μικρὸς ἢ μέγας, δοῦλος καὶ ἐλεύθερος· ὅπου οὐκ ἔστι Βασιλεὺς, ἢ ὑποκείμενος· ἀλλὰ ἴσια κατάδικοι, ὅλοι δεδεμένοι, ὅλοι γυμνοὶ, ἀπερίπατοι, τρέμοντες, κλαίοντες, ταρασσόμενοι, ἀγωνιῶντες, μεριμνῶντες καθ' ἑαυτὸν τί νὰ εἰπῇ, ἢ τί ἀπολογήσεται τῷ Κριτῇ περὶ τῶν κακῶν ὧν ἔπραξε. Πῦ ἐκεῖ τῶν Βασιλέων ἡ φαντασία; πῦ ἡ τῶν Τυράννων μεγαλαυχία; πῦ ἡ τῶν ἀφρόνων ὑπερηφανία; πῦ ἡ τῆς νεότητος κακία; πῦ ὁ σολισμὸς τῶν σύνδυμάτων; πῦ οἱ παρασκάμενοι καὶ παρατρέχοντες δοῦλοι· πῦ ὁ χρυσὸς καὶ ὁ ἄργυρος; πῦ τὰ χρυσοχάλινα ἄλογα; πῦ τὰ μυρίσματα, καὶ τὰ καπνίσματα τὰ ἀπολλυμένα; πῦ τὰ νυκτὸς καὶ ἡμέρας γινόμενα συμπόσια; πῦ οἱ μετὰ χορῶν καὶ τυμπάνων τὸν οἶνον πίνοντες, τῦ δὲ Θεῦ καὶ τῶν πενήτων καταφρονοῦντες; Οὐδὲν τούτων εἶναι ἐκεῖ, ἀλλὰ πικρὸν οὐαί. οὐκ ἔστιν ἐκεῖ πλουτῆσαι, ἀλλὰ φείξαι καὶ τρομάξαι· δὲν εἶναι ἐκεῖ δύνημερία, ἀλλὰ ἀπολογία· οὐκ ἔστιν ἐκεῖ σολισμὸς, ἀλλὰ μέγας σκοτασμός· οὐκ ἔστιν ἐκεῖ χορεῦσαι, ἀλλὰ θρηνῆσαι· οὐκ ἔστιν ἐκεῖ νεό-

πιτος φαντασία, ἀλλὰ σὺν τῷ Ἅδῃ ὀξυρεία· ἐκ ἔστιν ἐκεῖ παρακάλεσις σὺν ἐκείνῃ τῇ φοβερᾷ ὥρᾳ, ἀλλὰ δικαία ἀκριβὴς ἀνταπόδοσις. Ἐὰν ἐποίησας ὧδε τοῖς πτωχοῖς συμπάθειαν, καλοὶ μάρτυρες εἰς τὸν Χριστὸν καὶ παρακαλεσαὶ διὰ σὲ οἱ ἐλεηθέντες παρὰ σὲ πένητες, οἱ ὀρφανοὶ καὶ χῆραι, οἱ ξένοι, καὶ τυφλοὶ, καὶ ἀδυνάτοι, οἱ σὺν ἐρήμοις, καὶ σὺν φυλακαῖς, καὶ σὺν ὀξυρείαις. Μεγάλοι σε βοηθοὶ ἔσοι τότε γενήσονται, ὑποδείκνυοντες τῷ Χριστῷ ὅσα αὐτοῖς δέδωκας, ἅπερ αὐτὸς ἐσκέπασας, καὶ ἔθρεψας, καὶ ἀνέπαυσας, ὡς Ἀδελφοὶ ὄντες τὸ Χριστὸ. Διότι ἐὰν εἷς Ἀδελφὸς ἐδυνήθη πολλάκις νὰ παρακαλέσῃ Βασιλέα τὸν ἑαυτὸ Ἀδελφὸν, πόσῳ μᾶλλον, ὅταν παρακαλῇ πλῆθος Ἀδελφῶν;

Ὅτι δὲ Ἀδελφοὺς ὀνομάζει ὁ Χριστὸς ἐκεῖ τοὺς πένητας σὺν τῇ φοβερᾷ ἡμέρᾳ τῆς Κρίσεως, ἄκουσον αὐτὸ πρὸς τοὺς ἐκ δεξιῶν αὐτὸ τότε παρεστωτας λέγοντος· „Εἰς ὅσον ἐποιήσατε τῶν Ἀδελφῶν μου τούτων". Ὑποδείκνυσιν αὐτοὺς μὲ τὸν δάκτυλον, τοὺς ἐκεῖ καθημένους πρὸς τοὺς πόδας αὐτὸ πένητας. Τίς ἄρα ἄξιος, καὶ μακάριος σὺν ἐκείνῃ τῇ ὥρᾳ, ὅτε πάντες οἱ Ἄγγελοι, καὶ οἱ ἄνθρωποι τρέμουσι, νὰ ὀνομασθῇ Ἀδελφὸς τὸ Χριστὸ; Πόσων θησαυρῶν, πόσων στεφάνων, πόσου πλοῦτου εἶναι ὑψηλοτέρα ἡ τοιαύτη φωνή; Τίνες ἄρα εἶναι ἐκεῖνοι, ἵνα μακαρίσωμεν αὐτούς; οἵ τινες σὺν τῇ φοβερᾷ ὥρᾳ ἐκείνῃ τῆς Κρίσεως ἔρχονται θαρρεῖν τῶς μὲ παρρησίαν ἄφοβον, καὶ ὡς Πατέρα γνήσιον τὸν Χριστὸν γινώσκοντες, καὶ ἀκριβῶς γνωρίζοντες, ὅτι ὡς υἱὸς καὶ φίλος ἔτως ὑποδέξεται αὐτοὺς, ὡς καθαρῶς δουλεύσαντας αὐτῷ, καὶ φυλάξαντας αὐτὸ τὰς ἐντολάς; Τίς ἄρα ἐκεῖνος ὁ τετιμαμένος, τὸν ὁποῖον βλέψας ὁ Χριστὸς καθήμενος ἐπὶ θρόνου εἰσερχόμενον πρὸς αὐτὸν ὑποδέξεται, καὶ ὑπαντήσει αὐτὸν ἱλαρῷ τῷ προσώπῳ, καὶ περιχαρεῖ τῷ βλέμματι, καὶ δίμνοεῖ παρρησίᾳ, καὶ ὡς ἀπὸ ξένων ἀπὸ χρόνου ἐρχόμενον υἱὸν καὶ φίλον καταφιλήσῃ, καὶ τοιαῦτα πρὸς αὐτὸν εἴπῃ; Φίλε ἀγαθὲ καὶ πιστὲ, καλῶς ἦλθες, ὁ τροφεύς μου, ὁ ξενοδόχος μου, ὁ σκεπαστής μου, εὐχαριστῶ τῆς προαιρέσεώς σου, καὶ δὲν ἀλησμονῶ τῆς ἀγάπης σου· ἐνθυμᾶσαι τὰ ὅσα ἀγαθά μοι ἐποίησας; γινώσκεις πῶς μὲ ἀνέπαυσας εἰς τὸν οἶκόν σου; Εἶτα κρατήσας αὐτὸν ὁ Χριστὸς ἐκ τῆς χειρὸς, κατέμπροσθεν ὅλης τῆς μεγάλης ἐκείνης Πανηγύρεως, ἐνώπιον Ἀγγέλων, καὶ Ἀρχαγγέλων, καὶ πάσης ἀρχῆς, καὶ ἐξουσίας, Προφητῶν, Ἀποστόλων, Ὁσίων, καὶ Δικαίων, καὶ στήσας αὐτὸν εἰς τὸ μέσον, θέλει τὸν ἀνακηρύξῃ, λέγωντας εἰς ὅλους διὰ αὐτὸν δακτυλοειδῶς· Οὗτος ὁ ἄνθρωπος, πεινῶντά με ἴδε ποτὲ, καὶ ἔθρεψε· διψῶντα, καὶ ἐπότισε· γυμνῶντα, καὶ ἐσκέπασε· ξένον, καὶ ὑπεδέξατο· ἀσθενῶντα μὲ ἴδε, καὶ βασάσας, σὺν τῷ οἴκῳ αὐτὸ εἰσήγαγέ με. Τοὺς πόδας μου νίψε, τὰς χεῖράς μου ἔπλυνε, καὶ ἐπὶ τῆς κλίνης αὐτὸ ὁλοψύχως ἀνέπαυσέ με. σὺν ἀνάγκῃ μὲ ἴδε, καὶ ἐλύτρωσε, σὺν φυλακῇ με εὗρε, καὶ ἠγόρασε. διὸ καὶ ἐγὼ λέγω αὐτῷ· „Καλὲ δοῦλε, ἀγαθὲ „καὶ πιστὲ, ἐπειδὴ εἰς ὀλίγα ἔγινες πιστὸς, εἰς πολλὰ νὰ σὲ κατασήσω, „εἴσελθε εἰς τὴν χαρὰν τὸ Κυρίου σου". Ἀπόλαυσον τῆς τρυφῆς τὸ Παραδείσου μου, εἴσελθε εἰς τὴν ζωὴν τὴν αἰώνιον· καὶ ὁ μόνον δὲ ταῦτα

εἴπῃ ὁ Χριστὸς πῖς δυαρεστήσασιν αὐτῷ, ἀλλὰ καὶ ἀνακλινεῖ αὐτοὺς, καὶ παρελθὼν ὑπηρετήσει αὐτοῖς.

Ἵνα ἓν καὶ ἡμεῖς τῆς τοιαύτης τιμῆς καὶ φωνῆς, καὶ δόξης ἀπολαύσωμεν, ἃς προλάβωμεν, ἵνα μὴ ἔξω μείνωμεν· ἃς σπουδάσωμεν, Ἀγαπητοὶ, ἵνα καταλάβωμεν· ἃς ἀφήσωμεν τὰς ματαίας ὀκνηρίας ἐκείνας· ἃς ἀπορρίψωμεν τὰς ψευδεῖς ἐλπίδας. Μὴ πλανηθῶμεν πλέον, καὶ ἐμπαίξῃ ἡμᾶς ὁ πονηρός· μὴ ρίψῃ ἡμᾶς εἰς τὸν σήμερον, καὶ αὔριον ὁ δόλιος λογισμός· διότι πολλοὶ πολλὰ βουλευσάμενοι, εἰς τὸν αὔριον ὐκ ἔφθασαν, ἀλλὰ ἔξαφνα ἡρπάγησαν ὥσπερ τὸ πτηνίον ἀπὸ τὸ γεράκιον, καὶ ὡς τὸ ἀρνίον ἀπὸ τὸν λύκον, καὶ ὡς ὁ αἰχμάλωτος ὑπὸ τοῦ λῃστοῦ, μήτε λαλῆσαι ὅμως δυνάμενοι, μήτε διαθήκην τινὰ ποιῆσαι. Οἱ μὲν κοιμηθέντες ἀφ' ἑσπέρας ὑγιεῖς, ὐκ ἔφθασαν τὸ πρωΐ, οἱ δὲ ἐπὶ τραπέζης καθήμενοι, ἐν αὐτῇ ἐξεψύχησαν. Ἄλλοι δὲ ἐν ὁδῷ περιπατοῦντες, εὐθέως ἀπέθανον· ἕτεροι εἰς λουτρὸν εἰσκόμενοι, τὸ αὐτὸ λουτρὸν ἔχον ἐνταφιον· ἄλλοι δὲ εἰς τὸ νυμφοστόλιον ὄντες, ἔξαφνα ἡρπάγησαν, καὶ τὰ αὐτὰ ἐνδύματα εἶχαν ἐπιγάμια, καὶ ἐνταφια· καὶ διεδέχθησαν τοὺς παιγνιώτας οἱ θρηνοῦντες, καὶ τοὺς χορευτὰς οἱ πενθοῦντες. Καὶ ταῦτα πάντα οἴδαμεν, καὶ γινώσκομεν· τὸ δὲ δεινότερον τοῦτό ἐστιν, ὅτι θελληματικῶς μας, καὶ ἐν γνώσει ἁμαρτάνομεν, καὶ πλανώμεθα· διὰ τὸ ὁποῖον ὐδὲ μίαν ἀγάπην, καὶ συγχώρησιν παρὰ Θεοῦ ἔχομεν, ὅτι ὐχὶ ἐν ἀγνωσίᾳ, ἀλλὰ ἐν γνώσει πλανώμεθα, ἀκούοντες τῶν Θείων Γραφῶν ἐπαινούντων τὰ γινόμενα, καὶ ὐ ποιοῦμεν αὐτά. Λοιπὸν, παρακαλῶ, μὴ μόνον ἀκροαταὶ τῆς διδαχῆς γενώμεθα, ἀλλὰ καὶ ποιηταί. Εἶτις ὐν μετὰ τὴν ἀκρόασιν τῶν λεγομένων, σωφήθειαν πονηρὰν πορνείας ἔχων, τὴν ἀπέρριψεν, ὕτος ὄντως καλὸς ἀκροατής. Εἶτις καταυγεῖ εἰς τοὺς λόγους τούτους, καὶ ἐλεήμων, καὶ εὐμετάδοτος γένηται, ὕτος καλὸς ἀκροατής· ἃς κάμωμεν καὶ ἡμεῖς ὕτως, ἵνα μὴ εἰς κρῖμα ἡμῶν γένηται ἡ ἀνάγνωσις αὕτη, ὅτι ἀκούομεν καὶ δὲν ποιοῦμεν. Ἐὰν γὰρ ὁ θανάτος τοῦ Ἀδελφοῦ σου δὲν σὲ σωφρονίσῃ, ὐδεὶς δυνάται νὰ σὲ σωφρονίσῃ· ἐὰν μὴ νεκρὸν βλέπων μετανοήσῃς, πότε λοιπὸν ἐπιστρέψεις; καὶ ἐὰν μὴ ἐπὶ τῆς νυῦ λεγομένοις καταυγῇς, ὐδέ ποτε τῆς ἁμαρτίας ἀποχωρισθῇς. Ταύτην, Ἀγαπητοὶ, τὴν τῶν θείων λογίων τράπεζαν οἱ προαπελθόντες πρὸς Χριστὸν Ἀδελφοὶ ἡμῶν παρέθηκαν. Ταῦτα τὰ ζωοποιὰ φαγητὰ ἡμῖν ἡτοίμασαν. Τοῦτον ἡμῖν τὸν οἶνον ἐκέρασαν. Ταύτην ἡμῖν τὴν εὐφροσύνην, καὶ τὴν σωτηρίαν ἐχαρίσαντο, ὅπως, ταῦτα μελετῶντες ἐν νυκτὶ, καὶ ἡμέρᾳ, καὶ ὥρᾳ, ἐν Ἐκκλησίαις, καὶ ἐν ἀγοραῖς, ἐν οἴκοις, καὶ ἐπὶ τραπέζης, ἐν κλίναις, εἰς λουτρὰ, καὶ ἐν φυλακαῖς, ἐν συμποσίοις, καὶ ἐν σωεδείοις, δυνηθῶμεν τῆς πονηρᾶς ἀμελείας ἀποχωρισθῆναι, καὶ τὰς ψυχὰς ἡμῶν ἐπιστρέψαι πρὸς μετάνοιαν. Καὶ κἂν ἀπὸ τοῦ νυῦ ἀποχωρισθῶμεν τῶν ἁμαρτιῶν ἡμῶν, καὶ τοῦ Δεσπότου παρακαλέσαι, ἵνα τῆς τῶν Οὐρανῶν Βασιλείας τύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, νυῦ, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟ

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ

Περὶ Ψευδοπροφητῶν καὶ ἀθέων Αἱρετικῶν, καὶ περὶ σημείων τῆς συντελείας τοῦ αἰῶνος τούτου.

Εὐλόγησον Πάτερ.

Ἐρρέθη, μέλλοντας ἐκδημεῖν ἐκ τοῦ σώματος ὁ Ἅγιος.

